# Council of Nicaea Documents (Greek and Latin) – Part 1

**Sources Used**
Excerpts from the *Die Griechischen Christlichlen Schriftsteller* (GCS) and *Athanasius Werke* series are used by permission. Most other texts and translations are in the public domain. Click here for a key to the FCC (fourthcentury.com) translators.

This work is licensed under CC BY-NC-SA 4.0

**Anonymous Church History (pseudo-Gelasius) (CPG 6034)**
Greek text: *Anonyme Kirchengeschichte (Galezius Cyzicenus, CPG 6034)*, ed. Günther Christian Hansen. GCS N.F. 9 (Walter de Gruyter: Berlin, 2002).
English translation by FCC (NJ and RR).

**Athanasius, Letter to the Bishops of Africa (CPG 2133)**
Greek text: *Athanasius Werke*, vol. 2.8, ed. H.C. Brennecke et al. (Berlin, 2000).
English translation by A. Robertson (NPNF$^2$ 4:488-494), updated by FCC (AGC).

**On the Nicene Definition (de Decretis) (CPG 2120)**
Greek text: *Athanasius Werke*, vol. 2.1-2:1-45, ed. H.-G. Opitz (Berlin, 1935).
English translation by J. H. Newman and A. Robertson (NPNF$^2$ 4:149-172), updated by FCC (AGC).

**On the Synods of Ariminum and Seleucia (de Synodis) (CPG 2128)**
Greek text: *Athanasius Werke*, vol. 2.6-7, ed. H.-G. Opitz (Berlin, 1940).
English translation by J. H. Newman and A. Robertson (NPNF$^2$ 4:48-480), updated by FCC (AGC).

**Eusebius of Caesarea, Life of Constantine (CPG 3496)**
Greek text: *Eusebius Werke* 2. Die Kirchengeschichte, ed. E. Schwartz. GCS 9.1 (Leipzig, 1903).
English translation by A.C. McGiffert (NPNF$^2$ 1:73-404), updated by FCC (AGC).

**Gelasius of Caesarea, Ecclesiastical History (CPG 3521)**
Greek Text and English translation: Ecclesiastical History: The Extant Fragments With an Appendix containing the Fragments from Dogmatic Writings. GCS, ed. M. Wallraff, J. Stutz, and N. Marinides. Translated by N. Marinides. (De Gruyter, 2018).

**Jerome, Dialogue Against the Luciferians (CPL 608)**
Latin Text: Patrologia Latina vol. 23, coll. 153-182B. ed. J.P. Migne, (Paris, 1883).
English translation by W.H. Fremantle (NPNF$^2$, 6:319-34), updated by FCC (AGC).

**Philostorgius, Ecclesiastical History (CPG 6032)**
Greek Text: Philostorgius Kirchengeschichte., ed. J. Bidez. GCS 21 (Leipzig, 1913).
English translation by FCC (AGC).

**Rufinus of Aquileia, Ecclesiastical History**
Latin text: *Eusebius Werke* 2.2. Die Kirchengeschichte, ed. E. Schwartz and T. Mommsen (Leipzig, 1908).
English translation by FCC (AGC).

**Socrates, Ecclesiastical History (CPG 6028)**
Greek Text: ed. G.C. Hansen. GCS N.F. 1, Berlin, New York: De Gruyter, 1995.
English translation by A.C. Zenos (NPNF$^2$ 2:1-178).

**Sozomen, Ecclesiastical History (CPG 6030)**
Greek Text: G.C. Hansen, *Sozomenus Kirchengeschichte*, 2nd ed., GCS N.F. 4. (Berlin 1995)
English translation by C. Hartranft (NPNF$^2$ 2:179-427).

**Theodoret, Ecclesiastical History (CPG 6222)**
Greek Text: Theodoret: Kirchengeschichte. ed. Parmentier, Léon, GCS N.F. 5. Berlin, New York: De Gruyter, 1998.
English translation by B. Jackson (NPNF$^2$ 3:33-159).

## Spring 325 – Constantine summons a council in Nicaea

| Athanasius, *De Synodis* | Gelasius | Socrates | Sozomen | Theodoret |
|---|---|---|---|---|
| 5a. Ἡ μέν γὰρ ἐν Νικαίᾳ σύνοδος οὐχ ἁπλῶς γέγονεν, ἀλλ' εἶχε τὴν χρείαν κατεπείγουσαν καὶ τὴν αἰτίαν εὔλογον. οἱ μὲν γὰρ ἀπό τῆς Συρίας καὶ Κιλικίας καὶ Μεσοποταμίας ἐχώλευον περὶ τὴν ἑορτὴν καὶ μετὰ τῶν Ἰουδαίων ἐποίουν τὸ πάσχα, ἥ τε ἀρειανὴ αἵρεσις ἐπαναστᾶσα ἦν κατὰ τῆς καθολικῆς ἐκκλησίας καὶ προστάτας εἶχεν εἴς τε τὴν ὑπέρ ἑαυτῆς σπουδὴν καὶ εἰς τὴν κατὰ τῶν εὐσεβούντων ἐπιβουλὴν τοὺς περὶ Εὐσέβιον. καὶ αὕτη αἰτία γέγονεν οἰκουμενικὴν συναχθῆναι σύνοδον, ἵνα πανταχοῦ μία τῆς ἑορτῆς ἡμέρα ἐπιτελῆται καὶ ἡ παραφυεῖσα αἵρεσις αναθεματισθῇ. | F11 (p. 70) Τοιαῦτα μὲν θαυμαστὰ καὶ σοφίας μεστὰ παρῄνει ἡ τοῦ βασιλέως ἐπιστολή, τὸ δὲ κακὸν ἐπικρατέστερον ἦν καὶ τῆς βασιλέως σπουδῆς καὶ τῆς ἀξιοπιστίας τοῦ διακονησαμένου τοῖς γράμμασιν. | 1.8.1 Τοιαῦτα μὲν οὖν θαυμαστὰ καὶ σοφίας μεστὰ παρῄνει ἡ τοῦ βασιλέως ἐπιστολή. Τὸ δὲ κακὸν ἐπικρατέστερον ἦν καὶ τῆς τοῦ βασιλέως σπουδῆς καὶ ἀξιοπιστίας τοῦ διακονησαμένου τοῖς γράμμασιν· οὔτε γὰρ Ἀλέξανδρος οὔτε Ἄρειος ὑπὸ τῶν γραφέντων ἐμαλάσσοντο, ἀλλά τις ἦν ἄκριτος καὶ παρὰ τοῖς ἄλλοις πᾶσιν ἔρις καὶ ταραχή.<br>1.8.2 Προϋπῆρχεν δὲ καὶ ἄλλη τις προτέρα νόσος τοπικὴ τὰς ἐκκλησίας ταράττουσα, ἡ διαφωνία τῆς τοῦ πάσχα ἑορτῆς, ἥτις περὶ τὰ τῆς ἑῴας μέρη μόνον ἐγένετο, τῶν μὲν Ἰουδαϊκώτερον τὴν ἑορτὴν ποιεῖν ἐσπουδακότων, τῶν δὲ μιμουμένων σύμπαντας τοὺς κατὰ τὴν οἰκουμένην Χριστιανούς.<br>1.8.3 Διαφωνοῦντες δὲ οὕτως περὶ τῆς ἑορτῆς τῆς κοινωνίας μὲν οὐδαμῶς ἐχωρίζοντο, στυγνοτέραν δὲ τὴν ἑορτὴν τῇ διαφωνίᾳ εἰργάζοντο. | 1.17.1a Ἐπεὶ δὲ παρ' ἐλπίδας ἐχώρει τὸ πρᾶγμα καὶ κρείττων ἦν διαλλαγῶν ἡ ἔρις, ἄπρακτός τε ἐπανήει ὁ τὴν εἰρήνην βραβεῦσαι ἀπεσταλμένος, | 1.7.1 Ταῦτα μαθὼν ὁ πάνσοφος βασιλεὺς πρῶτον μὲν αὐτὴν ἐπειράθη τὴν τῶν κακῶν ἐμφράξαι πηγὴν καί τινα τῶν ἐπ' ἀγχινοίᾳ περιβοήτων εἰς τὴν Ἀλεξάνδρειαν μετὰ γραμμάτων ἀπέστειλε, σβέσαι τὴν ἔριν πειρώμενος καὶ τὸ στασιάζον συναγαγεῖν εἰς ὁμόνοιαν προσδοκῶν. |

| Eusebius | Gelasius | Rufinus | Philostorgius | Socrates | Sozomen | Theodoret | Anonymous Church History |
|---|---|---|---|---|---|---|---|
| 3.6a Εἶθ' ὥσπερ ἐπιστρατεύων αὐτῷ φάλαγγα θεοῦ σύνοδον οἰκουμενικὴν συνεκρότει, σπεύδειν ἁπανταχόθεν τοὺς ἐπισκόπους γράμμασι τιμητικοῖς προκαλούμενος. οὐκ ἦν δ' ἁπλοῦν τὸ ἐπίταγμα, συνήργει δὲ καὶ αὐτῇ πράξει τὸ βασιλέως νεῦμα, οἷς μὲν ἐξουσίαν | F11 (p. 72) Ὁρῶν τοίνυν ὁ βασιλεὺς ταραττομένην τὴν ἐκκλησίαν σύνοδον οἰκουμενικὴν συνεκρότει, τοὺς πανταχόθεν ἐπισκόπους διὰ γραμμάτων εἰς Νίκαιαν τῆς Βιθυνίας ἀπαντῆσαι παρακαλῶν. | 10.1b Sermo usque ad aures religiosi principis, quippe qui omni studio et diligentia curaret quae nostra sunt, pervenit. tum ille ex sententia sacerdotum apud urbem Nicaeam episcopale concilium convocat ibique Arrium trecentis decem et octo episcopis residentibus adesse iubet ac de eius | 1.8a Μετ' οὐ πολὺν δὲ χρόνον καὶ τὴν ἐν Νικαίᾳ συστῆναι σύνοδον | 1.8.4a Δι' ἀμφότερα τοίνυν ὁρῶν ὁ βασιλεὺς ταραττομένην τὴν ἐκκλησίαν σύνοδον οἰκουμενικὴν συνεκρότει, τοὺς πανταχόθεν ἐπισκόπους διὰ γραμμάτων εἰς Νίκαιαν τῆς Βιθυνίας ἀπαντῆσαι παρακαλῶν. | 1.17.1b …συνεκάλεσε σύνοδον εἰς Νίκαιαν τῆς Βιθυνίας καὶ πανταχῇ τοῖς προεστῶσι τῶν ἐκκλησιῶν ἔγραψεν εἰς ῥητὴν ἡμέραν παρεῖναι. | 1.7.2 Ἐπειδὴ δὲ τῆς ἐλπίδος ἐψεύσθη, τὴν πολυθρύλητον ἐκείνην εἰς τὴν Νικαέων συνήγειρε σύνοδον, δημοσίοις ὄνοις καὶ ἡμιόνοις καὶ ὀρεῦσι καὶ ἵπποις χρήσασθαι τοὺς ἐπισκόπους καὶ τοὺς σὺν τούτοις ἀφικνουμένους παρεγγυήσας. ἐπειδὴ δὲ ἠθροίσθησαν ὅσοι τῆς ὁδοιπορίας τὸν πόνον ἐνεγκεῖν ἠδυνήθησαν, ἀφίκετο καὶ αὐτὸς εἰς τὴν Νίκαιαν, ἰδεῖν τε τὴν | 2.5.1 Ὁρῶν τοίνυν ὁ βασιλεὺς ταραττομένην τὴν ἐκκλησίαν σύνοδον οἰκουμενικὴν συγκροτεῖ, τοὺς πανταχόθεν ἐπισκόπους διὰ γραμμάτων εἰς Νίκαιαν τῆς Βιθυνίας ἀπαντῆσαι παρακαλῶν. ἦν δὲ αὐτῷ ἑξκαιδέκατον ἔτος καὶ μῆνες ἓξ τῆς βασιλείας, ὅτε ταῦτα αὐτῷ ὑπὲρ τῆς ἐκκλησιαστικῆς εἰρήνης ἐσπούδαστο.<br><br>2.37.28a ἑξκαιδεκάτῳ μὲν ἔτει καὶ μησὶν ἓξ τῆς βασιλείας |

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| δημοσίου παρέχον δρόμου, οἷς δὲ νωτοφόρων ὑπηρεσίας ἀφθόνους. | | propositionibus et quaestionibus iudicari. | | | | τῶν ἀρχιερέων πληθὺν ἐφιέμενος καὶ τὴν ὁμόνοιαν αὐτοῖς πρυτανεῦσαι ποθῶν· καὶ παραχρῆμα πάντα αὐτοῖς ἀφθόνως χορηγεῖσθαι προσέταξεν. | αὐτοῦ, καθὼς καὶ ἀνωτέρω ὁ λόγος ἀπέδειξε κατὰ τὰ παλαιὰ διηγήματα, τὴν ἁγίαν τῶν ἐπισκόπων συναθροίσας σύνοδον. |

| **Eusebius** |
|---|
| 3.6b Ὥριστο δὲ καὶ πόλις ἐμπρέπουσα τῇ συνόδῳ, νίκης ἐπώνυμος, κατὰ τὸ Βιθυνῶν ἔθνος ἡ Νίκαια. ὡς οὖν ἐφοίτα πανταχοῦ τὸ παράγγελμα, οἷα τινος ἀπὸ νύσσης οἱ πάντες ἔθεον σὺν προθυμίᾳ τῇ πάσῃ. εἷλκε γὰρ αὐτοὺς ἀγαθῶν ἐλπίς, ἥ τε τῆς εἰρήνης μετουσία, τοῦ τε ξένου θαύματος τῆς τοῦ τοσούτου βασιλέως ὄψεως ἡ θέα. ἐπειδὴ οὖν συνῆλθον οἱ πάντες, ἔργον ἤδη θεοῦ τὸ πραττόμενον ἐθεωρεῖτο. οἱ γὰρ μὴ μόνον ψυχαῖς ἀλλὰ καὶ σώμασι καὶ χώραις καὶ τόποις καὶ ἔθνεσι πορρωτάτω διεστῶτες ἀλλήλων ὁμοῦ συνήγοντο, καὶ μία τοὺς πάντας ὑπεδέχετο πόλις. ἦν θ᾿ ὁρᾶν μέγιστον ἱερέων στέφανον ἐξ ὡραίων ἀνθέων καταπεποικιλμένον. |

## Notable bishops and confessors attend the council

| **Eusebius** | **Athanasius, *De Decretis*** | **Gelasius** | **Socrates** | **Sozomen** | **Theodoret** | **Anonymous Church History** |
|---|---|---|---|---|---|---|
| 3.8b Ἐπὶ δὲ τῆς παρούσης χορείας ἐπισκόπων μὲν πληθὺς ἦν πεντήκοντα καὶ διακοσίων ἀριθμὸν ὑπερακοντίζουσα, ἑπομένων δὲ τούτοις πρεσβυτέρων καὶ διακόνων ἀκολούθων τε πλείστων ὅσων ἑτέρων οὐδ᾿ ἦν ἀριθμὸς εἰς κατάληψιν. | 37a Οἱ ἐν Νικαίᾳ συνελθόντες ἐπίσκοποι ἦσαν δὲ ἐγγὺς τριακόσιοι | F11 (p. 72) ἐπὶ δὲ τῆς παρούσης χορείας ἐπισκόπων μὲν πληθὺς ἦν τριακοσίων ἀριθμὸν ὑπερακοντίζουσα, ἑπομένων δὲ τούτοις πρεσβυτέρων καὶ διακόνων ἀκολούθων τε πλείστων ὅσων ἑτέρων οὐδ᾿ ἦν ἀριθμὸς εἰς κατάληψιν…Παρῆσάν τε ἐκ πολλῶν ἐπαρχιῶν καὶ πόλεων οἱ ἐπίσκοποι, περὶ ὧν ὁ Παμφίλου Εὐσέβιος ἐν τῷ τρίτῳ βιβλίῳ τῷ εἰς τὸν Κωνσταντίνου βίον τάδε κατὰ λέξιν φησίν· | 1.8.9b ἐπὶ δὲ τῆς παρούσης χορείας ἐπισκόπων μὲν πληθὺς ἦν τριακοσίων ἀριθμὸν ὑπερακοντίζουσα, ἑπομένων δὲ τούτοις πρεσβυτέρων καὶ διακόνων ἀκολούθων τε πλείστων ὅσων ἑτέρων οὐδὲ ἦν ἀριθμὸς εἰς κατάληψιν.<br><br>1.8.4b Παρῆσάν τε ἐκ πολλῶν ἐπαρχιῶν καὶ πόλεων οἱ ἐπίσκοποι, περὶ ὧν ὁ Παμφίλου Εὐσέβιος ἐν τῷ τρίτῳ βιβλίῳ τῶν εἰς τὸν Κωνσταντίνου βίον τάδε κατὰ λέξιν φησίν· | 1.17.3 Ἦσαν δὲ ἐπίσκοποι ὑπὲρ ἀμφὶ τριακόσιοι εἴκοσι· πρεσβυτέρων τε καὶ διακόνων ὡς εἰκὸς ἑπομένων οὐκ ἦν ὀλίγον πλῆθος. συμπαρῆσαν δὲ αὐτοῖς ἄνδρες διαλέξεως ἔμπειροι ἐκείνοις βοηθεῖν λόγοις σπουδάζοντες. | 1.7.3a Ὀκτωκαίδεκα δὲ καὶ τριακόσιοι συνῆλθον ἀρχιερεῖς. ὁ δὲ τῆς Ῥώμης διὰ γῆρας ἀπελείφθη βαθύ· δύο μέντοι πρεσβυτέρους ἀπέστειλε, συνθέσθαι τοῖς πραττομένοις παρεγγυήσας. | 2.5.6b ἐπὶ δὲ τῆς παρούσης χορείας ἐπισκόπων μὲν πληθὺς ἦν τριακοσίων ἀριθμὸν ὑπερακοντίζουσα, ἑπομένων δὲ τούτοις πρεσβυτέρων καὶ διακόνων ἀκολούθων τε πλείστων ὅσων ἑτέρων οὐδ᾿ ἦν ἀριθμὸς εἰς κατάληψιν.<br><br>2.5.2 Παρῆσάν τε ἐκ πολλῶν ἐπαρχιῶν καὶ πόλεων οἱ ἐπίσκοποι, περὶ ὧν ὁ Παμφίλου Εὐσέβιος ἐν τῷ τρίτῳ βιβλίῳ τῶν εἰς τὸν Κωνσταντίνου βίον τάδε κατὰ λέξιν φησίν· |

| **Eusebius** | **Gelasius** | **Socrates** | **Sozomen** | **Anonymous Church History** |
|---|---|---|---|---|
| 3.7a Τῶν γοῦν ἐκκλησιῶν ἁπασῶν, αἳ τὴν Εὐρώπην ἅπασαν Λιβύην τε καὶ | F11 (p. 72) ‘Τῶν γοῦν ἐκκλησιῶν ἁπασῶν, αἳ τὴν Εὐρώπην ἅπασαν Λιβύην τε καὶ τὴν Ἀσίαν ἐπλήρουν, | 1.8.5 ‘Τῶν γοῦν ἐκκλησιῶν ἁπασῶν, αἳ τὴν Εὐρώπην ἅπασαν Λιβύην τε | 1.17.2a Ἐκοινώνουν δὲ τούτου τοῦ συλλόγου τῶν | 2.5.3 Τῶν γοῦν ἐκκλησιῶν ἁπασῶν, αἳ τὴν Εὐρώπην ἅπασαν, Λιβύην τε καὶ τὴν Ἀσίαν |

| | | | | |
|---|---|---|---|---|
| τὴν Ἀσίαν ἐπλήρουν, ὁμοῦ συνῆκτο τῶν τοῦ θεοῦ λειτουργῶν τὰ ἀκροθίνια, εἷς τ’ οἶκος εὐκτήριος ὥσπερ ἐκ θεοῦ πλατυνόμενος ἔνδον ἐχώρει κατὰ τὸ αὐτὸ Σύρους ἅμα καὶ Κίλικας, Φοίνικάς τε καὶ Ἀραβίους καὶ Παλαιστινούς, καὶ ἐπὶ τούτοις Αἰγυπτίους, Θηβαίους, Λίβυας, τούς τ’ ἐκ μέσης τῶν ποταμῶν ὁρμωμένους· ἤδη καὶ Πέρσης ἐπίσκοπος τῇ συνόδῳ παρῆν, οὐδὲ Σκύθης ἀπελιμπάνετο τῆς χορείας, Πόντος τε καὶ Γαλατία, Καππαδοκία τε καὶ Ἀσία, Φρυγία τε καὶ Παμφυλία τοὺς παρ’ αὐτοῖς παρεῖχον ἐκκρίτους· ἀλλὰ καὶ Θρᾷκες καὶ Μακεδόνες, Ἀχαιοί τε καὶ Ἠπειρῶται, τούτων θ’ οἱ ἔτι προσωτέρω οἰκοῦντες ἀπήντων, αὐτῶν τε Σπάνων ὁ πάνυ βοώμενος εἷς ἦν τοῖς πολλοῖς ἅμα συνεδρεύων. τῆς δέ γε βασιλευούσης πόλεως ὁ μὲν προεστὼς ὑστέρει διὰ γῆρας, πρεσβύτεροι δ’ αὐτοῦ παρόντες τὴν αὐτοῦ τάξιν ἐπλήρουν. | ὁμοῦ συνῆκτο τῶν τοῦ Θεοῦ λειτουργῶν τὰ ἀκροθίνια, εἷς τε οἶκος εὐκτήριος, ὥσπερ ἐκ Θεοῦ πλατυνόμενος, ἔνδον ἐχώρει κατὰ τὸ αὐτὸ Σύρους τε ἅμα καὶ Κίλικας, Φοίνικάς τε καὶ Ἄραβας καὶ Παλαιστινούς, καὶ ἐπὶ τούτοις Αἰγυπτίους, Θηβαίους, Λίβυας τούς τε ἐκ μέσης τῶν ποταμῶν ὁρμωμένους· ἤδη δὲ καὶ Πέρσης ἐπίσκοπος τῇ συνόδῳ παρῆν, οὐδὲ Σκύθης ἀπελιμπάνετο τῆς χορείας, Πόντος τε καὶ Ἀσία, Φρυγία τε καὶ Παμφυλία τοὺς παρ’ αὐτοῖς παρεῖχον ἐκκρίτους, ἀλλὰ καὶ Θρᾷκες καὶ Μακεδόνες, Ἀχαιοί τε καὶ Ἠπειρῶται οἱ ἔτι προσωτάτω οἰκοῦντες ἀπήντων, αὐτός τε Σπάνων ὁ πάνυ βοώμενος Ὅσιος, ἐπέχων καὶ τὸν τόπον τοῦ τῆς μεγίστης Ῥώμης ἐπισκόπου Σιλβέστρου σὺν πρεσβυτέροις ῾Ρώμης Βίτωνι καὶ Βικεντίῳ τοῖς πολλοῖς ἅμα συνεδρεύων. τῆς τε νῦν βασιλευούσης πόλεως ὁ μὲν προεστὼς Μητροφάνης τοὔνομα διὰ γῆρας ὑστέρει, πρεσβύτεροι δὲ αὐτοῦ παρόντες τὴν αὐτοῦ τάξιν ἐπλήρουν, ὧν εἷς Ἀλέξανδρος ἦν ὁ μετ᾽αὐτὸν ἐπίσκοπος τῆς αὐτῆς γεγονὼς πόλεως. | καὶ τὴν Ἀσίαν ἐπλήρουν, ὁμοῦ συνῆκτο τῶν τοῦ Θεοῦ λειτουργῶν τὰ ἀκροθίνια, εἷς τε οἶκος εὐκτήριος, ὥσπερ ἐκ Θεοῦ πλατυνόμενος, ἔνδον ἐχώρει κατὰ τὸ αὐτὸ Σύρους τε ἅμα καὶ Κίλικας, Φοίνικάς τε καὶ Ἀραβίους καὶ Παλαιστινούς, καὶ ἐπὶ τούτοις Αἰγυπτίους, Θηβαίους, Λίβυας τούς τε ἐκ μέσης τῶν ποταμῶν ὁρμωμένους· ἤδη δὲ καὶ Πέρσης ἐπίσκοπος τῇ συνόδῳ παρῆν, οὐδὲ Σκύθης ἀπελιμπάνετο τῆς χορείας, Πόντος τε καὶ Ἀσία, Φρυγία τε καὶ Παμφυλία τοὺς παρ’ αὐτοῖς παρεῖχον ἐκκρίτους, ἀλλὰ καὶ Θρᾷκες καὶ Μακεδόνες,<br>1.8.6 Ἀχαιοί τε καὶ Ἠπειρῶται τούτων τε οἱ ἔτι προσωτάτω οἰκοῦντες ἀπήντων, αὐτός τε Σπάνων ὁ πάνυ βοώμενος εἷς ἦν τοῖς πολλοῖς ἅμα συνεδρεύων· τῆς δέ γε βασιλευούσης πόλεως ὁ μὲν προεστὼς διὰ γῆρας ὑστέρει, πρεσβύτεροι δὲ αὐτοῦ παρόντες τὴν αὐτοῦ τάξιν ἐπλήρουν. | μὲν ἀποστολικῶν θρόνων Μακάριος ὁ Ἱεροσολύμων καὶ Εὐστάθιος ἤδη τὴν Ἀντιοχείας τῆς πρὸς τῷ Ὀρόντῃ ἐκκλησίαν ἐπιτραπεὶς καὶ Ἀλέξανδρος ὁ Ἀλεξανδρείας τῆς παρὰ τὴν Μαρίαν λίμνην. Ἰούλιος δὲ ὁ Ῥωμαίων ἐπίσκοπος διὰ γῆρας ἀπελιμπάνετο· παρῆσαν δὲ ἀντ’ αὐτοῦ Βίτων καὶ Βικέντιος πρεσβύτεροι τῆς αὐτῆς ἐκκλησίας. | ἐπλήρουν, ὁμοῦ συνῆκτο τῶν τοῦ θεοῦ λειτουργῶν τὰ ἀκροθίνια· εἷς τε οἶκος εὐκτήριος, ὥσπερ ἐκ θεοῦ πλατυνόμενος, ἔνδον ἐχώρει κατὰ τὸ αὐτὸ Σύρους τε ἅμα καὶ Κίλικας Φοίνικάς τε καὶ Ἄραβας καὶ Παλαιστινοὺς καὶ ἐπὶ τούτοις Αἰγυπτίους Θηβαίους Λίβυας τούς τε ἐκ Μέσης τῶν ποταμῶν ὁρμωμένους. ἤδη δὲ καὶ Πέρσης ἐπίσκοπος τῇ συνόδῳ παρῆν, οὐδὲ Σκύθης ἀπελιμπάνετο τῆς χορείας· Πόντος τε καὶ Ἀσία Φρυγία τε καὶ Παμφυλία τοὺς παρ’ αὐτοῖς παρεῖχον ἐκκρίτους. ἀλλὰ καὶ Θρᾷκες καὶ Μακεδόνες Ἀχαῖοί τε καὶ Ἠπειρῶται οἱ <δ’> ἔτι προσωτάτω οἰκοῦντες ἀπήντων, αὐτός τε Σπάνων ὁ πάνυ βοώμενος Ὅσιος, ἐπέχων καὶ τὸν τόπον τοῦ τῆς μεγίστης Ῥώμης ἐπισκόπου Σιλβέστρου σὺν πρεσβυτέροις Ῥώμης Βίτωνι καὶ Βικεντίῳ τοῖς πολλοῖς ἅμα συνεδρεύων.<br>2.5.4 τῆς δὲ νῦν βασιλευούσης πόλεως ὁ μὲν προεστὼς Μητροφάνης τοὔνομα διὰ γῆρας ὑστέρει, πρεσβύτεροι δὲ αὐτοῦ παρόντες τὴν αὐτοῦ τάξιν ἐτέλουν, ὧν ὁ εἷς Ἀλέξανδρος ἦν, ὁ μετ’ αὐτὸν ἐπίσκοπος τῆς αὐτῆς γεγονὼς πόλεως. |

| **Eusebius** | **Gelasius** | **Socrates** | **Anonymous Church History** |
|---|---|---|---|
| 3.7b Τοιοῦτον μόνος ἐξ αἰῶνος εἷς βασιλεὺς Κωνσταντῖνος Χριστῷ στέφανον δεσμῷ συνάψας εἰρήνης, τῷ αὐτοῦ σωτῆρι τῆς κατ’ ἐχθρῶν καὶ πολεμίων νίκης θεοπρεπὲς ἀνετίθει χαριστήριον, εἰκόνα χορείας ἀποστολικῆς ταύτην καθ’ ἡμᾶς συστησάμενος. | F11 (p. 72) Τοιοῦτον μόνος ἐξ αἰῶνος εἷς βασιλεὺς Κωνσταντῖνος Χριστῷ στέφανον δεσμῷ συνάψας εἰρήνης, τῷ αὐτοῦ σωτῆρι τῆς κατ’ ἐχθρῶν πολεμίων νίκης θεοπρεπὲς ἀνετίθει χαριστήριον, εἰκόνα χορείας ἀποστολικῆς ταύτην καθ’ ἡμᾶς συστησάμενος. ἐπεὶ καὶ κατ’ ἐκείνους συνῆχθαι λόγος “**ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ** | 1.8.7 Τοιοῦτον μόνος ἐξ αἰῶνος εἷς βασιλεὺς Κωνσταντῖνος Χριστῷ στέφανον δεσμῷ συνάψας εἰρήνης τῷ αὐτοῦ Σωτῆρι τῆς κατ’ ἐχθρῶν καὶ πολεμίων νίκης θεοπρεπὲς ἀνετίθει χαριστήριον, εἰκόνα χορείας ἀποστολικῆς ταύτην καθ’ ἡμᾶς συστησάμενος.<br>1.8.8 Ἐπεὶ <καὶ> κατ’ ἐκείνους συνῆχθαι λόγος **‘ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν ἄνδρας εὐλαβεῖς’,** ἐν οἷς ἐτύγχανον ‘**Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται καὶ οἱ** | 2.5.5 Τοιοῦτον μόνος ἐξ αἰῶνος εἷς βασιλεὺς Κωνσταντῖνος Χριστῷ στέφανον δεσμῷ συνάψας εἰρήνης, τῷ αὐτοῦ σωτῆρι τῆς κατ’ ἐχθρῶν πολεμίων νίκης θεοπρεπὲς ἀνετίθει χαριστήριον, εἰκόνα χορείας ἀποστολικῆς ταύτην καθ’ ἡμᾶς συστησάμενος. |

| | | | |
|---|---|---|---|
| 3.8. Ἐπεὶ καὶ κατ' ἐκείνους συνῆχθαι λόγος **"ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν ἄνδρας εὐλαβεῖς,"** ἐν οἷς ἐτύγχανον **"Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, οἵ τ' ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες,"** [Acts 2:5, 9-11] πλὴν ὅσον ἐκείνοις ὑστέρει τὸ μὴ ἐκ θεοῦ λειτουργῶν συνεστάναι τοὺς πάντας· | **τὸν οὐρανὸν ἄνδρας εὐλαβεῖς,"** καθὼς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων, ἐν οἷς ἐτύγχανον "**Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται**," [Acts 2:5, 9] πλὴν ὅσον ἐκείνοις μὲν ὑστέρει τὸ μὴ ἐκ θεοῦ λειτουργῶν συνεστάναι τοὺς πάντας, | **κατοικοῦντες Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, οἵ τε ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες'** [Acts 2:5, 9-11].<br>1.8.9 Πλὴν ὅσον ἐκείνοις μὲν ὑστέρει τὸ μὴ ἐκ Θεοῦ λειτουργῶν συνεστάναι τοὺς πάντας, | 2.5.6 ἐπεὶ καὶ κατ' ἐκείνους συνῆχθαι λόγος "**ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν ἄνδρας εὐλαβεῖς,"** καθὼς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, ἐν οἷς ἐτύγχανον "**Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται**," [Acts 2:5, 9] πλὴν ὅσον ἐκείνοις μὲν ὑστέρει τὸ μὴ ἐκ θεοῦ λειτουργῶν συνεστάναι τοὺς πάντας, |

| Eusebius | Gelasius | Socrates | Sozomen | Anonymous Church History |
|---|---|---|---|---|
| 3.9 Τῶν δὲ τοῦ θεοῦ λειτουργῶν οἱ μὲν διέπρεπον σοφίας λόγῳ, οἱ δὲ βίου στερρότητι καὶ καρτερίας ὑπομονῇ, οἱ δὲ τῷ μέσῳ τρόπῳ κατεκοσμοῦντο. ἦσαν δὲ τούτων οἱ μὲν χρόνου μήκει τετιμημένοι, οἱ δὲ νεότητι καὶ ψυχῆς ἀκμῇ διαλάμποντες, οἱ δ' ἄρτι παρελθόντες ἐπὶ τὸν τῆς λειτουργίας δρόμον· οἷς δὴ πᾶσι βασιλεὺς ἐφ' ἑκάστης ἡμέρας τὰ σιτηρέσια δαψιλῶς χορηγεῖσθαι διετέτακτο. | F11 (p. 74) Τῶν δὲ τοῦ θεοῦ λειτουργῶν οἱ μὲν διέπρεπον σοφίας λόγῳ, οἱ δὲ βίου στερρότητι καὶ καρτερίας ὑπομονῇ, οἱ δὲ τῷ μέσῳ τρόπῳ κατεκοσμοῦντο. ἦσαν δὲ τούτων οἱ μὲν χρόνων μήκει τετιμημένοι, οἱ δὲ νεότητι καὶ ψυχῆς ἀκμῇ διαλάμποντες, οἱ δὲ ἄρτι παρελθόντες ἐπὶ τὸν τῆς λειτουργίας δρόμον. οἷς δὴ πᾶσιν ὁ βασιλεὺς ἐφ' ἑκάστης ἡμέρας τὰ σιτηρέσια δαψιλῶς χορηγεῖσθαι προσέταττε. τοιαῦτα μὲν περὶ τῶν ἐκεῖ συνελθόντων ὁ Παμφίλου διεξῆλθεν Εὐσέβιος. | 1.8.10 Τῶν δὲ τοῦ Θεοῦ λειτουργῶν οἱ μὲν διέπρεπον σοφίας λόγῳ, οἱ δὲ βίου στερρότητι καὶ καρτερίας ὑπομονῇ, οἱ δὲ τῷ μέσῳ τρόπῳ κατεκοσμοῦντο.<br>1.8.11 Ἦσαν δὲ τούτων οἱ μὲν χρόνου μήκει τετιμημένοι, οἱ δὲ νεότητι καὶ ψυχῆς ἀκμῇ διαλάμποντες, οἱ δὲ ἄρτι παρελθόντες ἐπὶ τὸν τῆς λειτουργίας δρόμον. Οἷς δὴ πᾶσιν βασιλεὺς ἐφ' ἑκάστης ἡμέρας τὰ σιτηρέσια δαψιλῶς χορηγεῖσθαι διετέτακτο.'<br>1.8.12 Τοιαῦτα μὲν περὶ τῶν ἐκεῖ συνελθόντων ὁ Παμφίλου διεξῆλθεν Εὐσέβιος. Ἐπιτελέσας δὲ ὁ βασιλεὺς ἐπινίκιον κατὰ Λικινίου ἑορτήν, ἀπήντα καὶ αὐτὸς εἰς τὴν Νίκαιαν. | 1.17.2b Ἐπὶ τούτοις δὲ καὶ ἄλλοι πλεῖστοι καλοὶ καὶ ἀγαθοὶ ἐκ διαφόρων ἐθνῶν συνῆλθον, οἱ μὲν νοεῖν καὶ λέγειν ἱκανοὶ εἰδήσει τε τῶν ἱερῶν βίβλων καὶ τῆς ἄλλης παιδεύσεως ἐπίσημοι ἢ ἀρετῇ βίου διαπρέποντες, οἱ δὲ κατ' ἀμφότερον εὐδοκιμοῦντες. | 2.5.7 Τῶν δὲ τοῦ θεοῦ λειτουργῶν οἱ μὲν διέπρεπον σοφίας λόγῳ, οἱ δὲ βίου στερρότητι καὶ καρτερίας ὑπομονῇ, οἱ δὲ τῷ μέσῳ τρόπῳ κατεκοσμοῦντο. ἦσαν δὲ τούτων οἱ μὲν χρόνων μήκει τετιμημένοι, οἱ δὲ νεότητι καὶ ψυχῆς ἀκμῇ διαλάμποντες, οἱ δὲ ἄρτι παρελθόντες ἐπὶ τὸν τῆς λειτουργίας δρόμον.<br>2.5.8 οἷς δὴ πᾶσιν ὁ βασιλεὺς ἐφ' ἑκάστης ἡμέρας τὰ σιτηρέσια δαψιλῶς χορηγεῖσθαι προσέταττε. τοιαῦτα μὲν περὶ τῶν ἐκεῖ συνελθόντων ὁ Παμφίλου διεξῆλθεν Εὐσέβιος. |

| Gelasius | Rufinus | Philostorgius | Socrates | Theodoret | Anonymous Church History |
|---|---|---|---|---|---|
| F12 (p. 96) Ἀλλὰ μὴν Ἀθανάσιος, περὶ οὗ καὶ πρώην εἰρήκαμεν, τηνικάδε διάκονος ὤν, οὐκ ἄμοιρος τοῦ τῶν | 10.5c Tales igitur in illis adhuc temporibus permulti viri in ecclesiis domini refulgebant, ex quibus plurimi in illo | 1.8b Ἐν ᾗ μετὰ τῶν ἄλλων ἀρχιερέων θεοῦ καὶ Βασιλέα τὸν Ἀμασείας | 1.13.11 Τοῦτο μὲν οὖν ὕστερον ἐγένετο, τότε δὲ οἱ ἐν τῇ συνόδῳ ἐπίσκοποι καὶ ἄλλα τινὰ ἐγγράψαντες, ἃ κανόνας ὀνομάζειν εἰώθασιν, αὖθις κατὰ πόλιν τὴν ἑαυτῶν ἀνεχώρησαν. Φιλομαθείας δὲ εἶναι νομίζω καὶ τὰ ὀνόματα τῶν ἐν Νικαίᾳ συνελθόντων ἐπισκόπων, ὧν εὑρεῖν ἠδυνήθην, | 1.7.3b Ἦσαν δὲ κατ' ἐκεῖνον τὸν χρόνον πολλοὶ μὲν ἀποστολικοῖς χαρίσμασι διαπρέποντες, πολλοὶ δὲ τὰ στίγματα τοῦ κυρίου Ἰησοῦ, κατὰ τὸν θεῖον ἀπόστολον, ἐν τῷ σώματι φέροντες. | 2.11.8 Ἀλλὰ μὴν καὶ Ἀθανάσιος, περὶ οὗ καὶ πρώην εἰρήκαμεν, τηνικάδε διάκονος ὤν, οὐκ |

| | | | | | |
|---|---|---|---|---|---|
| ἁγίων ἐκείνων χοροῦ εἶναι ὑπὸ πάντων ὡμολόγητοσυνῆν δὲ τῷ Ἀλεξάνδρῳ τῷ τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπισκόπῳ, βοηθὸς ἄριστος ὑπάρχων αὐτῷ. | concilio fuerunt. sed et Athanasius eodem tempore Alexandri diaconus Alexandrini episcopi aderat, consiliis senem quam plurimis iuvans. | ἐπίσκοπον παρεῖναι καὶ Μελέτιον τὸν Σεβαστουπόλεως. | καὶ ἧς ἕκαστος ἐπαρχίας τε καὶ πόλεως ἦν, καὶ τὸν χρόνον, ἐν ᾧ συνῆλθον, παραθέσθαι ἐνταῦθα.<br>1.13.12 Hosius, who was, I believe, bishop of Cordova in Spain, as I have before stated. Vito and Vicentius, presbyters of Rome, Alexander, bishop of Egypt, Eustathius of Antiochia Magna, Macarius of Jerusalem, and Harpocration of Cynopolis: the names of the rest are fully reported in the Synodicon of Athanasius, bishop of Alexandria.<br><br>1.8.13 Συμπαρῆσαν δὲ καὶ λαϊκοὶ πολλοὶ διαλεκτικῆς ἔμπειροι, {ἐν} ἑκατέρῳ μέρει συνηγορεῖν προθυμούμενοι. Ἀλλὰ τὴν μὲν Ἀρείου δόξαν συνεκρότουν Εὐσέβιός τε ὁ Νικομηδεύς, ὥς μοι καὶ πρότερον εἴρηται, καὶ Θεόγνιος καὶ Μάρις, ὧν ὁ μὲν Νικαίας ἐπίσκοπος ἦν, Μάρις δὲ τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος. Τούτοις δὲ γενναίως ἀντηγωνίζετο Ἀθανάσιος, διάκονος μὲν τῆς Ἀλεξανδρέων ἐκκλησίας, σφόδρα δὲ αὐτὸν διὰ τιμῆς ἦγεν Ἀλέξανδρος ὁ ἐπίσκοπος· διὸ καὶ φθόνος ὡπλίσατο κατ' αὐτοῦ, ὡς ὕστερον λέξομεν. | 1.7.4 Ἰάκωβος μὲν γὰρ ὁ Ἀντιοχείας τῆς Μυγδονίας (Σύροι δὲ αὐτὴν καὶ Ἀσσύριοι Νίσιβιν ὀνομάζουσι) καὶ νεκροὺς ἀνέστησε καὶ τοῖς ζῶσι συνέταξε καὶ ἄλλα μυρία εἰργάσατο θαύματα· ἃ περιττὸν ἡγοῦμαι τῇδε πάλιν ἐνθεῖναι τῇ συγγραφῇ, ἐν τῇ Φιλοθέῳ ταῦτα διηγησάμενος Ἱστορίᾳ.<br>1.7.5 Παῦλος δὲ ὁ Νεοκαισαρείας (φρούριον δὲ τοῦτο ταῖς τοῦ Εὐφράτου παρακείμενον ὄχθαις) τῆς Λικιννίου παραπήλαυσε λύττης. ἄμφω γὰρ ἦν τὼ χεῖρε πεπεδημένος, σιδήρου πεπυρακτωμένου προσβαλόντος αὐταῖς καὶ τὰ κινητικὰ τῶν ἄρθρων νεῦρα συστείλαντος καὶ νεκρώσαντος.<br>1.7.6 ἕτεροι δὲ ὀρωρυγμένους εἶχον τοὺς δεξιοὺς ὀφθαλμούς, ἄλλοι δὲ τὰς ἀγκύλας ἐκκεκομμένοι τὰς δεξιάς· εἷς τούτων ἦν Παφνούτιος ὁ Αἰγύπτιος· καὶ ἁπαξαπλῶς ἦν ἰδεῖν δῆμον μαρτύρων κατὰ ταὐτὸν συνηθροισμένον.<br>1.7.7a οὐκ ἦν δ' ὅμως ἄμοιρος τῶν ἐναντίων ὁ θεῖος οὗτος καὶ ἀοίδιμος ὅμιλος· ἀλλ' ἦσάν τινες, εὐαρίθμητοι μέν, ὕπουλοι δὲ καὶ τὰ βράχη μιμούμενοι, καὶ τὴν πονηρίαν καλύπτοντες καὶ ταῖς Ἀρείου βλασφημίαις οὐ προφανῶς συνηγοροῦντες. | ἄμοιρος τοῦ τῶν ἁγίων ἐκείνων χοροῦ εἶναι ὑπὸ πάντων ὡμολόγητο· συνῆν δὲ τῷ Ἀλεξάνδρῳ τῷ τῆς Ἀλεξανδρέων ἐκκλησίας ἐπισκόπῳ, βοηθὸς ἄριστος ὑπάρχων αὐτῷ. |

## The most noteworthy bishops in attendance

| Gelasius | Rufinus | Socrates | Anonymous Church History |
|---|---|---|---|
| F12e (p. 90) Ἐγένετο δὲ κατὰ τὴν σύνοδον καὶ ἄλλος τις ἐκ τοῦ χοροῦ τῶν ὁμολογητῶν, τοὔνομα Παφνούτιος, ἀνὴρ Αἰγύπτιος, Θεοῦ ἄνθρωπος, ἐκ τῆς ὁμηγύρεως ἐκείνων ὡν Μαξιμιανός ὁ Βασιλεὺς τοὺς δεξιοὺς ὤρυξεν ὀφθαλμοὺς καὶ τὰς λαιὰς ἐνευροκόπησεν ἀγκύλας παραδοὺς τοῖς μετάλλοις συνέχεσθαι, ἐν ᾧ τοσαύτη ἦν χάρις τοῦ θεοῦ, ὥστε σημεῖα ποιεῖν μηδὲν ἔλαττον τῶν πάλαι | 10.4 Fuit praeterea in illo concilio et Pafnutius homo dei episcopus ex Aegypti partibus, confessor ex illis, quos Maximianus dextris oculis effossis et sinistro poplite succiso per metalla damnaverat. sed in hoc tanta virtutum inerat gratia, ut signa per eum non minus quam dudum per apostolos fierent. nam et daemonas verbo tantum fugabat et aegros sola oratione curabat. sed et caecis visum dicitur reddidisse et | 1.8.12c Διέπρεπον δὲ ἐν τοῖς ἐπισκόποις Παφνούτιός τε ὁ ἐκ τῆς ἄνω Θηβαΐδος καὶ Σπυρίδων ὁ Κύπρου. Ὅτου χάριν δὲ τούτων ἰδικῶς ἐμνημόνευσα, μετὰ ταῦτα ἐρῶ.<br><br>1.11.1 Ἐπεὶ δὲ Παφνουτίου καὶ Σπυρίδωνος ποιήσασθαι μνήμην ἀνωτέρω ἐπηγγειλάμεθα, εὔκαιρον ἐνταῦθα περὶ αὐτῶν εἰπεῖν. Παφνούτιος γὰρ μιᾶς τῶν πόλεων τῆς ἄνω Θηβαΐδος ἐπίσκοπος ἦν· | 2.9.1 Ἦν δὲ ἐν αὐτοῖς καὶ ὁ μέγας καὶ ἅγιος Παφνούτιος τὸν τῶν ὁμολογητῶν καὶ ἐπισκόπων κατακοσμῶν χορόν, ἀνὴρ Αἰγύπτιος, θεοῦ δὲ ἄνθρωπος ἐκ τῆς ὁμηγύρεως ἐκείνης, οὗ Μαξιμιανὸς ὁ βασιλεὺς τὸν δεξιὸν ἐξώρυξεν ὀφθαλμὸν καὶ τὰς λαιὰς ἐνευροκόπησεν ἀγκύλας παραδοὺς τοῖς μετάλλοις συνέχεσθαι,<br>2.9.2 ἐν ᾧ τοσαύτη ἦν ἡ τοῦ θεοῦ χάρις, ὥστε σημεῖα αὐτὸν ποιεῖν μηδὲν ἐλάττω τῶν πάλαι ὑπὸ τῶν ἀποστόλων γεγενημένων. λόγῳ γὰρ μόνῳ τοὺς δαίμονας ἐφυγάδευε καὶ |

τοῖς ἀποστόλοις γεγενημένων. λόγῳ γὰρ μόνῳ τοὺς δαίμονας ἐφυγάδευε καὶ εὐχῇ διαφόρους ἀσθενοῦντας ἐθεράπευε τυφλοῖς τε τὸ βλέπειν τὸν θεὸν ἐξαιτούμενος παρείχε καὶ παρεθέντας πρὸς τὴν κατὰ φύσιν ἦγεν ἀκμὴν τὰ μέλη ἐνεργεῖν ὑγιῶς.

ὃν ὁ βασιλεὺς σφόδρα διὰ τιμῆς ἦγε συνεχῶς τε ἐπὶ τὰ βασίλεια μετεπέμπετο καὶ τὸν ἐξωρυγμένον ὀφθαλμὸν κατεφίλει· τοσαύτη προσῆν τῷ βασιλεῖ Κωνσταντίνῳ εὐλάβεια.

Καὶ δὴ καὶ Σπυρίδων Κύπριός τις ἀνὴρ ἐπίσημος καὶ τὴν ἐκ παιδὸς ποιμενικὴν πεῖραν τῇ τοῦ Χριστοῦ ποίμνῃ καταστὰς προφητικῷ βίῳ διαγινόμενος ἐγνωρίζετο, ὃς καί γε διέπων τὴν ἐκκλησίαν τοῦ ποιμαίνειν τὰ ἴδια πρόβατα οὐκ ἐπαύσετο. οὕτω δὲ ἦν χρηστὸς καὶ ἀνεξίκακος, ὅτι λῃστῶν ἐφ᾽ ὁδου δόλῳ προσβαλόντων τῇ ποίμνῃ ἀοράτοις τε δεσμοῖς κρατουμένων κινηθῆναί τε μὴ δυναμένων ἕως πρωί, ἐπιστὰς δι᾽ εὐχῆς ἀνεθῆναι μὲν τῆς συνοχῆς ποιεῖ· οὐ μὴν ἀλλὰ καὶ κριὸν τὸν κράτιστον ἀποιχομένοις δίδωσιν, εἰπών· "λάβετε, ὦ νεανίσκοι, πρὸς ἀπόχρησιν, μὴ ἄπρακτοι ὄντες τῇ νυκτὶ ταύτῃ δι᾽ ἐμὲ τὴν αἰτίαν τῆς ἀπορίας καταμέμψησθε." πολλὰ μὲν οὖν καὶ ἄλλα θαυμαστὰ αὐτοῦ ἀκηκόαμεν, ἓν δὲ ἐκ πολλῶν παραθήσομεν. Λόγος ὅτι θυγατέρα ἔσχεν, Εἰρήνην τοὔνομα, ἣ τῷ γέροντι προσφόρως διακονήσασα ἐν παρθενίᾳ τὸν βίον ὑπεξέρχεται. ταύτης μετὰ θάνατον ἐξ ἀποδημίας τις ἐπιστὰς παραθήκην ἀπῄτει τὸν γέροντα, ἥν πρόσθεν αὐτῇ ἦν παραθέμενος, ἥν ὁ μακάριος Σπυρίδων ἠγνόησεν. ὡς δὲ πολὺς ἦν ἐπικείμενος αὐτῷ ὁ ἄνθρωπος,

paralyticos ad stabilitatem corporis revocasse. quem Constantinus in tanta veneratione et affectu habuit, ut saepius eum intra palatium evocatum conplecteretur et illum oculum. qui in confessione fidei fuerat evulsus, avidioribus osculis demulceret.

10.5 Ex eorum numero et si quid adhuc eminentius, fuisse dicitur etiam Spyridon Cyprius episcopus, vir unus ex ordine profetarum. quantum etiam nos eorum qui eum viderant narratione conperimus. hic pastor ovium etiam in episcopatu positus permansit. quadam vero nocte cum ad caulas fures venissent et manus inprobas, quo aditum educendis ovibus facerent, extendissent, invisibilibus quibusdam vinculis restricti usque ad lucem velut traditi tortoribus permanserunt. cum vero oves ducturus ad pascua matutinus se ageret senior, videt iuvenes absque humanis vinculis caulis pendere districtos. cumque causam noxae comperisset, absolvit sermone quos meritis vinxerat, et ne eis inanis nocturna cederet occupatio: "Tollite," inquit, "o iuvenes, unum vobis arietem, ne sine causa venisse videamini, quem melius prece quam furto quaesisse convenerat." tradunt de hoc etiam illud factum mirabile. filiam habuit Irenen nomine, quae ei cum bene ministrasset, virgo defuncta est. post eius obitum venit quidam dicens se ei quoddam depositum commendasse. rem gestam ignoraverat pater. perquisitum in tota domo nusquam quod poscebatur inventum est. persistebat ille, qui commodaverat, et fletu ac lacrimis perurgebat, vitae suae quoque inlaturum se esse exitium, nisi commendata reciperet, testabatur. permotus lacrimis eius senex ad

οὕτως δὲ ἦν ἀνὴρ θεοφιλής, ὡς καὶ σημεῖα θαυμαστὰ γίνεσθαι ὑπ᾽ αὐτοῦ.

1.11.2 Οὗτος ἐν καιρῷ τοῦ διωγμοῦ τὸν ὀφθαλμὸν ἐξεκόπη· σφόδρα δὲ ὁ βασιλεὺς ἐτίμα τὸν ἄνδρα καὶ συνεχῶς ἐπὶ τὰ βασίλεια μετεπέμπετο καὶ τὸν ἐξορωρυγμένον ὀφθαλμὸν κατεφίλει. Τοσαύτη προσῆν τῷ βασιλεῖ Κωνσταντίνῳ εὐλάβεια.

1.11.3 Ἓν μὲν οὖν τοῦτο περὶ Παφνουτίου εἰρήσθω·

1.12.1 Καὶ τοσαῦτα μὲν περὶ Παφνουτίου· δίκαιον <δὲ> καὶ περὶ Σπυρίδωνος ὀλίγα διεξελθεῖν. Οὗτος ποιμὴν προβάτων ἐτύγχανεν· ᾧ καὶ τοσαύτη ποιμαίνοντι προσῆν ὁσιότης, ὡς ἀξιωθῆναι αὐτὸν καὶ ἀνθρώπων ποιμένα γενέσθαι. Μιᾶς γὰρ τῶν ἐν Κύπρῳ πόλεων ὀνόματι Τριμιθοῦντος τὴν ἐπισκοπὴν ἐκεκλήρωτο, διὰ δὲ ἀτυφίαν πολλὴν ἐχόμενος τῆς ἐπισκοπῆς ἐποίμαινεν καὶ τὰ πρόβατα.

1.12. Πολλὰ μὲν οὖν τὰ περὶ αὐτοῦ λεγόμενα, ἑνὸς δὲ ἢ δύο ἐπιμνησθήσομαι, ἵνα μὴ ἔξω τοῦ προκειμένου δόξω πλανᾶσθαι. Μεσούσης ποτὲ τῆς νυκτὸς κλέπται ταῖς ἐπαύλεσι τῶν προβάτων λαθραίως ἐπελθόντες ἀφαιρεῖσθαί τινα τῶν προβάτων ἐσπούδαζον.

1.12.3 θεὸς δὲ ἄρα ὁ τὸν ποιμένα σῴζων ἔσῳζε καὶ τὰ πρόβατα. Οἱ γὰρ κλέπται ἀοράτῳ δυνάμει παρὰ τὰς ἐπαύλεις ἐδέδεντο.

1.12.4 Ὄρθρος τε ἦν καὶ ἧκεν παρὰ τὰ ποίμνια· ὡς δὲ εὗρεν <αὐτοὺς> ὀπίσω τὰς χεῖρας ἔχοντας, ἔγνω τὸ γεγονός, καὶ εὐξάμενος λύει τοὺς κλέπτας, πολλά τε νουθετήσας καὶ παραινέσας ἐκ δικαίων πόνων σπουδάζειν, μὴ μὴν ἐξ ἀδικίας λαμβάνειν, ἀπέλυσε κριόν τε αὐτοῖς χαρισάμενος καὶ χαριέντως ἐπιφθεγξάμενος 'ἵνα μή, φησίν, μάτην ἠγρυπνηκότες φανῆτε.'

1.12.5 Ἓν μὲν δὴ τοῦτο τῶν Σπυρίδωνος θαυμάτων, ἕτερον δὲ τοιοῦτον. Ἦν αὐτῷ θυγάτηρ παρθένος, τῆς τοῦ πατρὸς εὐλαβείας μετέχουσα, τοὔνομα Εἰρήνη.

εὐχῇ διαφόρους ἀσθενοῦντας ἐθεράπευε τυφλοῖς τε τὸ βλέπειν τὸν θεὸν ἐξαιτούμενος παρείχετο καὶ παρεθέντας πρὸς τὴν κατὰ φύσιν ἦγεν ἀκμὴν τὰ μέλη ἐνεργεῖν ποιῶν ὑγιῶς.

2.9.3. ὃν ὁ βασιλεὺς σφόδρα διὰ τιμῆς ἦγε συνεχῶς τε ἐπὶ τὰ βασίλεια μετεπέμπετο καὶ τὸν ἐξορωρυγμένον ὀφθαλμὸν κατεφίλει· τοσαύτη προσῆν τῷ εὐσεβεῖ βασιλεῖ πρὸς τοὺς ἁγίους πίστις.

2.10.1 Καὶ δὴ καὶ Σπυρίδων Κύπριός τις ἀνὴρ ἐπίσημος ἐν κυρίῳ καὶ τὴν ἐκ παιδὸς ποιμενικὴν πεῖραν τῇ τοῦ Χριστοῦ ποίμνῃ καθιερωμένος, προφητικῷ βίῳ διαγινόμενος ἐγνωρίζετο, ὃς καί γε διέπων τὴν ἐπισκοπὴν τοῦ ποιμαίνειν τὰ ἴδια πρόβατα οὐκ ἐπαύετο.

2.10.2 οὕτω δὲ ἦν χρηστὸς καὶ ἀνεξίκακος, ὅτι λῃστῶν ἐφόδου δόλῳ προσβαλόντων τῇ ποίμνῃ ἀοράτοις τε δεσμοῖς κρατουμένων κινηθῆναί τε μὴ δυναμένων ἕως πρωί, ἐπιστὰς ὁ μακάριος δι᾽ εὐχῆς ἀνεθῆναι αὐτοὺς τῆς συνοχῆς ποιεῖ· οὐ μὴν ἀλλὰ καὶ τῶν κριῶν τὸν κράτιστον ἀποιχομένοις δίδωσιν, εἰπών· "λάβετε, ὦ νεανίσκοι, πρὸς ἀπόχρησιν τοῦτον, μὴ ἄπρακτοι ἀπιόντες τῇ νυκτὶ ταύτῃ δι᾽ ἐμὲ τὴν αἰτίαν τῆς ἀπορίας καταμέμψησθε."

2.10.3 Πολλὰ μὲν οὖν καὶ ἄλλα θαυμαστὰ περὶ τοῦ ἁγίου τούτου ἀκηκόαμεν, ἓν δὲ ἐκ πολλῶν παραθήσομεν.

2.11.1 Θυγατέρα ἔσχεν ὁ θαυμάσιος καὶ ἀοίδιμος οὗτος τοῦ θεοῦ ἄνθρωπος, Εἰρήνην τοὔνομα, ἣ τῷ γέροντι προσφόρως διακονήσασα ἐν παρθενίᾳ τὸν ἀνθρώπινον βίον ὑπεξέρχεται.

2.11.2 ταύτης μετὰ θάνατον ἐξ ἀποδημίας τις ἀναστὰς ἔμπορος παρακαταθήκην ἀπῄτει τὸν γέροντα, ἣν τῇ αὐτοῦ θυγατρὶ τῇ παρθένῳ ἦν παραθέμενος.

2.11.3 ὁ δὲ μακάριος Σπυρίδων ἠγνόησε παντελῶς τὴν ὑπόθεσιν· ὡς δὲ πολὺς ἦν ἐπικείμενος αὐτῷ ὁ ἄνθρωπος, πολλὰ ἄνω καὶ κάτω τὸν οἶκον διερευνήσας ὁ γέρων καὶ μὴ εὑρὼν ἠνιᾶτο σφόδρα καὶ πρὸς τὸν ἄνδρα ἔλεγε μήτε εἰδέναι μήτε εἶναί τι ἐν τῷ οἴκῳ.

2.11.4 ὁ δὲ ἔμπορος ἐκβοῶν δάκρυσί τε συνεχόμενος καὶ ὀλοφυρόμενος ᾔτει τὴν παρακαταθήκην, λέγων αὐτὸν

| | | | |
|---|---|---|---|
| πολλὰ ἄνω καὶ κάτω τὸν οἶκον διερευνήσας ὁ γέρων καὶ μὴ εὑρὼν ἠνία σφόδρα τὸν ἄνδρα λέγων μὴ εἰδέναι. ὁ δὲ παραθέμενος ἐκβοῶν ἔτι, δάκρυσί τε συνεχόμενος ἔλεγεν ἑαυτὸν διαχειρίσεσθαι τῆς ἀπωλείας εἰ μὴ λάβοι τὰ παρακατατεθέντα, φάσκων ἕνεκα γήρους αὐτῷ ταύτην τὴν παραμυθίαν παραμυθίαν πεποιῆσθαι παρ' αὐτῇ παραθέμενον. Παρασκεθάζει οὖν τὸν γέροντα ἐπὶ τὸ μνῆμα ὁρμῆσαι τῆς θυγατρὸς πρὸς πεῦσιν τοῦ πράγματος· ὁ δὲ ἐλθὼν καλεῖ τὴν θυγατέρα ἐξ ὀνόματος καί φησι· "τέκνον Εἰρήνη." ἡ δὲ ἀποκριθεῖσα ἀπὸ τοῦ τάφου λέγει· "τί θέλεις, ὦ πάτερ;" ὁ δὲ πρὸς αὐτήν· "ποῦ ἀπέθου τὴν τοῦδε τοῦ ἀνθρώπου παρακαταθήκην, ὦ θύγατερ;" κἀκείνη πρὸς αὐτὸν ἔφη· "ἐν τῷδε κεῖται τῷ τόπῳ," σαφῶς τὸν τόπον ἐπισημάνασα τῷ πατρί. ὁ οὖν γέρων ἐπιστρέψας ἐν τῷ οἴκῳ καὶ εὑρὼν ὅπου περ εἶπε κεῖσθαι ἡ παρθένος τὴν παραθήκην, ἀπέδωκε τῷ ἀνδρί. Πολλὰ δὲ καὶ ἄλλα τοῦ ἀνδρὸς ᾄδονται θαύμαστα αἳ καὶ μέχρι δεῦρο πρὸς τῶν ἐγχωρίων δείκνυνται τοῖς ἐφισταμένοις πρὸς λυσιτέλειαν. τοιούτοις τοιγαροῦν ἐν ἐκείνοις ἔτι τοῖς καιροῖς ἁγίοις ἀνδράσιν ἡ ἐκκλησία ἐσεμνύνετο, ἐξ ὧν πολλοὶ παρῆσαν κατὰ τὴν ἐν Νικαίᾳ σύνοδον.[1] | sepulchrum filiae properat atque eam nominee clamitat. tum illa de sepulcrho: "quid vis," ait, "pater?" "commendatum," inquit, "illius ubi posuisti?" at illa locum designans, "illic," ait, "invenies defossum." Regressus ad domum rem, sicut filia de sepulcrho responderat, repertam tradidit reposcenti. sed et multa alia eius feruntur gesta mirabilia, quae etiam nunc ore omnium celebrantur. tales igitur in illis adhuc temporibus permulti viri in ecclesiis domini refulgebant, ex quibus plurimi in illo concilio fuerunt. sed et Athanasius eodem tempore Alexandri diaconus Alexandrini episcopi aderat, consiliis senem quam plurimis iuvans. | Ταύτῃ γνώριμός τις πολύτιμον παρέθετο κόσμιον· ἡ δὲ ἀσφαλέστερον ποιοῦσα γῇ τὴν παραθήκην ἔκρυψεν, μετ' οὐ πολὺ δὲ τὸν βίον ἀπέλιπεν.<br>1.12.6 Ἧκει μετὰ χρόνον ὁ παραθέμενος, μὴ εὑρών τε τὴν παρθένον ἐμπλέκεται τῷ πατρί, νῦν μὲν ἐγκαλῶν, ἔστιν δ' ὅτε καὶ παρακαλῶν.<br>1.12.7 Ἐπεὶ δὲ συμφορὰν ἐποιεῖτο τὴν τοῦ παραθεμένου ζημίαν ὁ γέρων, ἐλθὼν ἐπὶ τὸ μνῆμα τῆς θυγατρὸς ἐπεκαλεῖτο τὸν Θεὸν πρὸ καιροῦ δεῖξαι αὐτῷ τὴν ἐπηγγελμένην ἀνάστασιν, καὶ δὴ τῆς ἐλπίδος οὐχ ἥμαρτεν. Ζῶσα γὰρ αὖθις ἡ παρθένος φαίνεται τῷ πατρί, καὶ τὸν τόπον σημάνασα, ἔνθα τὸ κόσμιον ἀπεκέκρυπτο, αὖθις ἀποχώρει. Τοιοῦτοι ἄνδρες ἐν τοῖς χρόνοις τοῦ βασιλέως Κωνσταντίνου κατὰ τὰς ἐκκλησίας ἐξέλαμπον.<br>1.12.8. Ταῦτα δὲ ἐγὼ καὶ ἀκοῇ παρὰ πολλῶν Κυπρίων παρέλαβον καὶ συντάγμασι Ῥουφίνου τινὸς πρεσβυτέρου ἐνέτυχον Ῥωμαϊκῇ λέξει συγγεγραμμένοις, ἀφ' ὧν ταῦτα καὶ ἕτερά τινα τῶν μετ' οὐ πολὺ ῥηθησομένων συνήγαγον. | διαχειρίσεσθαι τῆς ἀπωλείας χάριν, εἰ μὴ λάβοι τὰ παρακατατεθέντα, φάσκων ἕνεκα γήρως αὐτῷ ταύτην τὴν παραμυθίαν πεφυλάχθαι παρ' αὐτῇ τῇ παρθένῳ παραθέμενος.<br>2.11.5 ἀναγκάζεται τοίνυν ὁ γέρων ὁ ἅγιος ἐκεῖνος ἐπὶ τὸ μνῆμα τῆς θυγατρὸς ἅμα τῷ ἐμπόρῳ ὁρμῆσαι πρὸς πεῦσιν τοῦ πράγματος· ὁ δὲ ἐλθὼν καλεῖ τὴν θυγατέρα ἐξ ὀνόματος καί φησι πρὸς αὐτήν· "τέκνον μου Εἰρήνη." ἡ δὲ ἀποκριθεῖσα ἀπὸ τοῦ τάφου λέγει πρὸς αὐτόν· "τί θέλεις, ὦ πάτερ;" ὁ δὲ γέρων πρὸς αὐτήν· "ποῦ ἀπέθου τὴν τοῦδε τοῦ ἀνθρώπου παραθήκην, ὦ θύγατερ;" κἀκείνη πρὸς αὐτὸν ἔφη· "ἐν τῷδε κεῖται τῷ τόπῳ, πάτερ" σαφῶς τὸν τόπον ἐπισημάνασα τῷ πατρί. ὁ δὲ πρὸς αὐτήν· "πορεύου ἐν εἰρήνῃ, τέκνον μου Εἰρήνη."<br>2.11.6 ὁ οὖν γέρων ἐπιστρέψας οἴκοι καὶ εὑρὼν οὗπερ εἶπεν ἡ παρθένος κεῖσθαι τὴν παραθήκην, ἀπέδωκε τῷ ἀνδρί.<br>2.11.7 Πολλὰ δὲ καὶ ἄλλα τοῦ ἀνδρὸς ᾄδονται θαύματα καὶ παραδοξοποιίαι πολλαί, αἳ καὶ μέχρι δεῦρο πρὸς τῶν ἐγχωρίων δείκνυνται τοῖς ἐφισταμένοις πρὸς πληροφορίαν τῆς ἀληθοῦς ἡμῶν εἰς Χριστὸν πίστεως. τοιούτοις τοιγαροῦν μέχρι τῶν καιρῶν ἐκείνων ἁγίοις ἀνδράσιν ἡ ἐκκλησία διέπρεπεν, ἐξ ὧν πολλοὶ παρῆσαν κατὰ τὴν ἐν Νικαίᾳ σύνοδον. |
| **Socrates** | | | |
| 1.13.1 Ἤκουσα δὲ ἐγὼ καὶ περὶ Εὐτυχιανοῦ, θεοφιλοῦς ἀνδρὸς κατὰ τοὺς αὐτοὺς χρόνους ἀκμάσαντος, ὃς καὶ αὐτὸς τῆς ἐκκλησίας τῶν Ναυατιανῶν τυγχάνων παραπλήσια ἔργα ποιῶν ἐθαυμάζετο. | | | |

[1] This section of Gelasius has been reconstructed by the editors of *Gelasius of Caesarea, Ecclesiastical History: the Extant Fragments* "based on the agreement between BHG 129 and Cyzicenus [the Anonymous Church History]" (pg. 91). Because our Greek text for the Anonymous Church History does not precisely match that provided by the editors of Gelasius, we have maintained separate translations.

1.13.2 Τίς τε ὁ περὶ τούτου διηγησάμενος, ἐρῶ μετὰ ἀκριβείας καὶ οὐκ ἀποκρύψομαι, κἂν δόξω τισιν ἀπεχθάνεσθαι. Αὐξάνων τις τῆς Ναυατιανῶν ἐκκλησίας πρεσβύτερος μακροβιώτατος γέγονεν, ὃς καὶ τῇ ἐν Νικαίᾳ συνόδῳ κομιδῇ νήπιος ὢν ἅμα τῷ Ἀκεσίῳ παρέβαλεν καὶ τὰ κατὰ Ἀκέσιον ἐμοὶ διηγήσατο.
1.13.3 Οὗτος ἐξ ἐκείνων τῶν χρόνων ἄχρι τῆς βασιλείας τοῦ νέου Θεοδοσίου παρέτεινεν καὶ νεωτέρῳ μοι σφόδρα τυγχάνοντι τὰ περὶ Εὐτυχιανοῦ διηγήσατο, πολλὰ μὲν διεξελθὼν περὶ τῆς προσούσης αὐτῷ θείας χάριτος, ἓν δὲ κἀκεῖνο μνήμης ἄξιον <ἐγγράφου>.
1.13.4 Ἐπὶ τοῦ βασιλέως, ἔφη, Κωνσταντίνου τῶν δορυφόρων τις, οὓς οἰκείους καλεῖ βασιλεύς, τυραννικά τινα πράττειν ὑποπτευθεὶς φυγῇ ἐχρήσατο. Ὁ βασιλεὺς δὲ ἐκέλευσεν ἀπειλῇ ἀναιρεῖσθαι αὐτόν, ἔνθα ἂν εὑρίσκοιτο.
1.13.5 Ὃς περὶ τὸν Βιθυνὸν Ὄλυμπον εὑρεθεὶς βαρυτάτοις καὶ χαλεποῖς σιδήροις ἐν εἱρκτῇ κατεκέκλειστο περὶ τὰ μέρη τοῦ Ὀλύμπου, ἔνθα ἦν καὶ ὁ Εὐτυχιανὸς τὸν μονήρη βίον ἀσκῶν πολλῶν τε τὰ σώματα καὶ τὰς ψυχὰς ἐθεράπευεν. Συνῆν δὲ αὐτῷ καὶ ὁ μακροβιώτατος Αὐξάνων, νέος ὢν πάνυ καὶ τὰ τοῦ μοναχικοῦ βίου ὑπ’ αὐτῷ παιδευόμενος.
1.13.6 Παρὰ τοῦτον τὸν Εὐτυχιανὸν ἧκον πολλοὶ παρακαλοῦντες ῥύεσθαι τὸν δέσμιον βασιλεῖ παρακλήσεις προσφέροντα. Καὶ γὰρ ἐληλύθει εἰς τὰς ἀκοὰς τοῦ βασιλέως τὰ παρὰ Εὐτυχιανοῦ γινόμενα θαύματα.
1.13.7 Ὁ δὲ ἑτοίμως ὑπέσχετο παρὰ τὸν βασιλέα πορεύεσθαι. Ἐπεὶ δὲ ὁ δεσμώτης ἐκ τῶν δεσμῶν ἀνήκεστα ἔπασχεν, οἱ παρακαλοῦντες ὑπὲρ αὐτοῦ φθάνειν ἔλεγον καὶ τὴν παρὰ βασιλέως τιμωρίαν καὶ τὰς ὑπὲρ αὐτοῦ παρακλήσεις τὸν ἐκ τῶν δεσμῶν ἐπικείμενον θάνατον. Εὐτυχιανὸς δὲ πέμψας παρακαλεῖ τοὺς δεσμοφύλακας ἀνεῖναι τὸν ἄνθρωπον.
1.13.8 Τῶν δὲ λεγόντων κίνδυνον φέρειν αὐτοῖς τὴν ἄνεσιν τοῦ δεσμώτου, αὐτὸς δι’ ἑαυτοῦ ἅμα τῷ Αὐξάνοντι πρὸς τὸ δεσμωτήριον παραγίνεται. Ἐκείνων δὲ μὴ βουλομένων ἀνοίγειν τὴν εἱρκτὴν ἡ προσοῦσα χάρις Εὐτυχιανῷ φανερωτέρα ἐγίνετο· αὐτόματοι γὰρ αἱ πύλαι τοῦ δεσμωτηρίου ἠνοίγοντο, τῶν δεσμοφυλάκων τὰς κλεῖς ἐχόντων παρ’ ἑαυτοῖς.
1.13.9 Εἰσελθόντος δὲ τοῦ Εὐτυχιανοῦ ἅμα τῷ Αὐξάνοντι καὶ πολλῆς τοῖς τότε παροῦσιν ἐκπλήξεως γενομένης αὐτόματοι οἱ δεσμοὶ τὸν δεσμώτην ἀπέλιπον, μετὰ ταῦτα δὲ ἐπὶ τὸ πάλαι μὲν Βυζάντιον, ὕστερον δὲ Κωνσταντινούπολιν ἅμα τῷ Αὐξάνοντι παρεγένετο,
1.13.10 δεχθείς τε εἰς τὰς βασιλικὰς αὐλὰς τοῦ θανάτου ἐρρύσατο τὸν ἄνθρωπον· ἑτοίμως γὰρ ὁ βασιλεὺς τιμῶν τὸν ἄνδρα κατένευσε πρὸς τὴν αἴτησιν.

## A philosopher debates with the bishops before the council begins

| Gelasius | Rufinus | Socrates | Sozomen | Anonymous Church History |
|---|---|---|---|---|
| F12d (p. 84) Πρὸς γὰρ τὸ παράδοξον τοῦ βασιλικοῦ διατάγματος καὶ φιλόσοφοι ἐν τῇ συνόδῳ παρῆσαν λίαν διαλεκτικῆς ἐμπειρότατοι. ἐν οἷς ἦν εἷς παρὰ πάντας θαυμαζόμενος καὶ πάμπολλα τοῖς ἐπισκόποις ὑπὲρ Ἀρείου διαπληκτιζόμενος, ὥστε γενέσθαι ἐκ τῆς συμβολῆς μεγάλην ἀκρόασιν πλήθους ἐπισυνθέοντος. οὔτε γὰρ οἷοί τε ἦσαν οἱ ἐπίσκοποι τὸν φιλόσοφον τέως περιτρέψαι διαλεγόμενον, ὅτι πᾶσι τοῖς ἐπαγομένοις ῥᾷστα προσεφέρετο, ἐπιλύων τὰ κινούμενα καὶ δίκην ἐγχέλυος, ἐν οἷς ἐδόκει συνέχεσθαι, | 10.3 Quantam vero virtutem habeat simplicitas fidei, etiam ex his, quae inibi gesta referuntur, agnoscimus. etenim cum pro studio religiosi imperatoris ex omni terra sacerdotes dei coissent, opinione commoti philosophi quoque et dialectiei valde nobiles et opinatissimi convenerunt. in quibus quidam insignis in arte dialectica per dies singulos conflictum summi certaminis cum episcopis nostris, viris adaeque in dialectica non inprobabiliter eruditis movebat, et fiebat ingens spectaculum convenientibus ad | 1.8.14 Μικρὸν οὖν πρὸ τῆς εἰς ἕνα τόπον συνελεύσεως τῶν ἐπισκόπων οἱ διαλεκτικοὶ πρὸς τοὺς πολλοὺς προαγῶνας ἐποιοῦντο τῶν λόγων, 1.8.15 ἑλκομένων τε πολλῶν πρὸς τὸ τοῦ λόγου τερπνὸν εἷς τις τῶν ὁμολογητῶν | 1.17.7 Πολλοὶ δὲ τῶν τότε συνεληλυθότων ἐπισκόπων καὶ τῶν ἑπομένων αὐτοῖς κληρικῶν, δεινοὶ διαλέγεσθαι καὶ τὰς τοιαύτας μεθόδους τῶν λόγων ἠσκημένοι, διέπρεψαν καὶ βασιλεῖ γνώριμοι καὶ τοῖς ἀμφ’ αὐτὸν ἐγένοντο. ἐξ ἐκείνου δὲ καὶ Ἀθανάσιος ὁ Ἀλεξανδρείας ἔτι τότε διάκονος Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ συνὼν πλεῖστον ἔδοξεν εἶναι μέρος τῆς περὶ ταῦτα βουλῆς. 1.18.1 Οὐ μὴν ἀλλὰ καί τινες τῶν παρ’ Ἕλλησι φιλοσόφων | 2.12.9 Παρῆσαν γὰρ πλεῖστοι ὅσοι φιλόσοφοι, εἰς οὓς ἠλπικότες, ὡς ἀρτίως εἰρήκαμεν, οἱ τῆς ἀληθείας πολέμιοι εἰκότως ἑάλωντο μετὰ τοῦ καὶ τῆς βλασφημίας αὐτῶν διδασκάλου, πληρουμένης ἐπ’ αὐτοῦ καὶ αὐτῶν τῆς ἱερᾶς γραφῆς λεγούσης· **“ἐπικατάρατος πᾶς ἄνθρωπος, ὃς ἔχει τὴν ἐλπίδα αὐτοῦ ἐπ’ ἄνθρωπον καὶ ἀπὸ κυρίου ἀπέστη ἡ καρδία αὐτοῦ”** [Jer. 17:5].<br><br>2.13.1 Εἷς δέ τις τῶν μισθωτῶν Ἀρείου φιλόσοφος, λίαν παρὰ πάντας τοὺς ἄλλους θαυμαζόμενος, πολλὰ καὶ πάμπολλα ὑπὲρ Ἀρείου πρὸς τοὺς ἐπισκόπους τοὺς ἡμετέρους διετείνετο ἐπὶ πλείστας ὅσας ἡμέρας, ὥστε γίνεσθαι ἐφ’ ἑκάστης ἐκ τῆς διὰ τῶν λόγων συμβολῆς μεγάλην ἀκρόασιν, τοῦ πλήθους τῶν συνερχομένων ἐπισυγχέοντος, τοῦ δὲ φιλοσόφου κατὰ τῶν παρὰ τῆς ἁγίας συνόδου λεγομένων τὰς ἀσεβεῖς Ἀρείου βλασφημίας προβαλλομένου, λέγοντος περὶ τοῦ υἱοῦ τοῦ θεοῦ τὸ “ἦν ποτε ὅτε οὐκ ἦν” καὶ ὅτι “κτίσμα καὶ ποίημα ἐξ οὐκ ὄντων |

| | | | | |
|---|---|---|---|---|
| διολισθαίνων τῶν ἐπικρατεστέρως αὐτῷ προτιθεμένων νοημάτων.<br>Ἀλλ᾽ ἵνα δείξῃ ὁ θεὸς ὅτι **“οὐκ ἐν λόγῳ ἡ βασιλεία, ἀλλ᾽ἐν δυνάμει”** [1 Cor. 4:20] συνίσταται, ἐκ τῶν προλεχθέντων ὁμολογητῶν ἀνήρ τις ἁπλούστατος τὴν φύσιν καὶ μηδὲν ἕτερον εἰδὼς εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον, ἐν τοῖς λοιποῖς ἀκροαταῖς συνῆν τοῖς ἐπισκόποις.<br>Ὅς ἐνιδὼν τὸν φιλόσοφον ἐπικερτομοῦντα τοῖς ἡμετέροις καὶ τῇ μοχθηρᾷ συζητήσει καταλαζομευόμενον, αἰτεῖ χώραν αὐτῷ συνομιλίας ἐπιδοθῆναι πρὸς αὐτόν.<br>Τότε οἱ καθ᾽ἡμᾶς συνειδότες τοῦ ἀνδρὸς τὴν ἁπλότητα καὶ τὸ ἄπειρον αὐτὸν εἶναι γραμμάτων ἐννοοῦντες, ἔπειθον μὴ εἰς μέσον ἐλθεῖν, μη ποτε παρὰ τοῖς μοχθηροῖς γέλως γένηται.<br>Ὁ δὲ μὴ ἀνασχόμενος πρόσεισι τῷ ἀνδρὶ καί φησιν, “ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, ὦ φιλόσοφε, ἄκουσον τὰ τῆς ἀληθείας δόγματα.” ὁ δὲ πρὸς αὐτόν, “ἐὰν εἴποις.” κἀκεῖνος, “εἷς ἐστιν ὁ Θεός,” φησίν, “ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν δημιουργήσας, ὁ καὶ τὸν ἄνθρωπον ἐκ γῆς διαπλάσας, ὑπεστήσατο ὁμοῦ τοῖς ὁρατοῖς καὶ τὰ ἀόρατα τῷ λόγῳ αὐτοῦ καὶ τῷ ἁγίῳ Πνεύματι. τοῦτον τὸν λόγον ἡμεῖς υἱὸν Θεοῦ εἰδότες προσκυνοῦμεν, πιστεύοντες διὰ τὴν ἡμετέραν ἀπολύτρωσιν ἐκ παρθένου τίκτεσθαι καὶ διὰ σταυροῦ καὶ θανάτου αὐτὸν ἡμας ἠλευθερωκέναι ἀπὸ τῆς | audiendum doctis et litteratis viris. nec tamen ullo genere philosophus concludi a quoquam poterat aut constringi: tanta etenim dicendi arte obiectis quaestionibus occurrebat, ut ubi maxime putaretur adstrictus, velut anguis lubricus laberetur.<br>sed ut ostenderet deus, quia “**non in sermone regnum dei, sed in virtute”** [1 Cor. 4:20] consistit, quidam ex confessoribus simplicissimae naturae vir et nihil aliud sciens nisi “**Christum Iesum et hunc crucifixum**” [1 Cor. 2:2] inter ceteros auditores episcopos aderat. qui cum vidisset filosofum insultantem nostris et callida se disputationis arte iactantem, poscit ab omnibus locum, velle se paucis cum philosofo sermocinari. tum vero nostri, qui simplicitatem viri et inperitiam in sermone dumtaxat nossent, pavere et velut pudorem quendam pati, ne forte apud callidos homines risui efficeretur sancta simplicitas. perstitit tamen senior et hinc movit sermonis exordium. “in nomine,” inquit, “Iesu Christi, philosophe, audi, quae vera sunt. deus unus est, qui caelum fecit et terram quique homini, quem de terrae limo formaverat, spiritum dedit, universa, quae videntur et quae non videntur, virtute verbi sui creavit et spiritus sui sanctificatione firmavit. hoc verbum | λαϊκῶν, ἀκέραιον ἔχων τὸ φρόνημα, ἀντιπίπτει τοῖς διαλεκτικοῖς καί φησιν πρὸς αὐτούς, ὡς ἄρα ὁ Χριστὸς καὶ οἱ Ἀπόστολοι οὐ διαλεκτικὴν ἡμῖν παρέδοσαν τέχνην οὐδὲ ‘κενὴν ἀπάτην’, ἀλλὰ γυμνὴν γνῶσιν, ἐν πίστει καὶ καλοῖς ἔργοις φυλαττομένην.<br>1.8.16 Ταῦτα εἰπόντος, οἱ μὲν παρόντες ἐθαύμασαν καὶ ἀπεδέξαντο· οἱ δὲ διαλεκτικοὶ εὐγνωμονέστερον ποιοῦντες ἡσύχασαν, τὸν ἁπλοῦν λόγον τῆς ἀληθείας ἀκούσαντες. | ἐπίτηδες τουτωνὶ τῶν διαλέξεων μετέσχον, οἱ μὲν ὅ τι ποτέ ἐστι τὸ δόγμα μανθάνειν σπουδάζοντες· οἱ δὲ προσφάτως ἀπόλλυσθαι τῆς Ἑλληνικῆς θρησκείας ἀρχομένης ἀπεχθανόμενοι τοῖς Χριστιανοῖς τὴν περὶ τοῦ δόγματος ζήτησιν εἰς ἔριδας λόγων ἐνέβαλλον, ὥστε πρὸς ἑαυτὸ στασιάζειν καὶ ἐναντίον δοκεῖν.<br>1.18.2 λέγεται οὖν, ὥς τινος αὐτῶν ὑπὸ φιλοτιμίας λόγων κομπάζοντος καὶ τοῖς ἱερεῦσιν ἐπιτωθάζοντος οὐκ ἤνεγκε τὸν τῦφον γέρων ἁπλοῦς τις τῶν ἐν ὁμολογίαις εὐδοκιμησάντων· τοιούτων δὲ σκινδαλμῶν καὶ τερθρείας ἄμοιρος ὢν τὸν πρὸς αὐτὸν ἀνεδέξατο λόγον. ἐπὶ τούτῳ δὲ τοῖς μὲν προπετέσι τῶν εἰδότων τὸν ὁμολογητὴν γέλωτα ἐκίνησε τὸ πρᾶγμα, τοῖς δὲ ἐπιεικέσι δέος, προορωμένοις μὴ παρὰ ἀνδρὶ τεχνίτῃ λόγων γελοῖος φανείη.<br>1.18.3 ὅμως δ᾽ οὖν συγχωρησάντων λέγειν ἃ βούλεται (ἀντιτείνειν γὰρ αὐτῷ τοιούτῳ ὄντι ἐπὶ πολὺ ᾐδοῦντο) “ἐν ὀνόματι,” ἔφη, “Ἰησοῦ Χριστοῦ, φιλόσοφε ἄκουσον. εἷς ἐστι θεός, οὐρανοῦ καὶ γῆς καὶ πάντων τῶν ὁρωμένων καὶ | καὶ ἐξ ἑτέρας οὐσίας καὶ ὑποστάσεώς ἐστι·”<br>2.13.2 καὶ ὑπὲρ τούτων τῶν μιαρῶν δογμάτων Ἀρείου πολὺς ἦν αὐτῷ ὁ ἀγὼν καὶ αἱ τῶν λόγων νιφάδες, λυττῶντος αὐτοῦ κατὰ τοῦ υἱοῦ τοῦ θεοῦ καὶ κατατρέχοντος τοῦ τῶν ἁγίων ἱερέων ἐκείνων χοροῦ, λαλοῦντος ἐν αὐτῷ καὶ δι᾽ αὐτοῦ τοῦ τῆς τῶν ἀνθρώπων σωτηρίας ἐχθροῦ·<br>2.13.3 οἱ δὲ τῆς ἀληθείας ὑπέρμαχοι, οἱ ἡμέτεροι ἐπίσκοποι, τὰς ὀφειλομένας καὶ πρεπούσας ὑπὲρ τῶν ἀποστολικῶν δογμάτων ἀντιθέσεις ἀταράχως τῷ φιλοσόφῳ προσέφερον, τὸν μέγαν προφήτην ὁμοῦ καὶ βασιλέα Δαυῒδ μιμούμενοι λέγοντα· “**ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην**” [Ps. 119:60] πάσας γὰρ τὰς τοῦ φιλοσόφου πολυπλόκους προτάσεις ὡς πυρὶ τῷ θείῳ λόγῳ στυππείου δίκην κατανήλισκον.<br>2.13.4 ἀλλὰ καὶ οὕτως ὁ φιλόσοφος τῇ τῶν λόγων διαβολικῇ εὐτεχνίᾳ θαρρῶν τὴν διὰ τῶν ἐπισκόπων ἀλήθειαν κηρυττομένην ἀντιτοξεύειν ἐνίστατο, εὖ μάλα ῥᾷστα πᾶσι τοῖς ἐπαγομένοις αὐτῷ, ὡς ᾤετο, προσφερόμενος, ἐπιλύειν τε ἐβιάζετο τὰ κινούμενα δίκην ἐγχέλυος· ἐν οἷς γὰρ ἐδόκει ἑαυτῷ συνίστασθαι, διολισθαίνων τῶν ἐπικρατεστέρων αὐτῷ προσφερομένων νοημάτων ἐκ τῶν οἰκείων ῥημάτων ἁλισκόμενος συγκατέπιπτεν.<br>2.13.5 ἀλλὰ καὶ οὕτως κορυβαντιῶν ἀλαζονικῶς κατὰ τῆς εἰρηνικωτάτης συνόδου ἐφέρετο, ἐλπίζων νικᾶν τοῦ ἐν αὐτοῖς ἀηττήτου πνεύματος Χριστοῦ τὴν ἀκαταμάχητον δύναμιν·<br>2.13.6 ἀλλ᾽ ἵνα δείξῃ ὁ θεὸς **“ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν**” [Job 5:13, 1 Cor. 3:19], ὅτι “**οὐκ ἐν λόγῳ ἡ βασιλεία αὐτοῦ ἀλλ᾽ ἐν δυνάμει”** [1 Cor. 4:20] συνίσταται, δι᾽ ἑνὸς τῶν ἐκεῖσε δούλων αὐτοῦ τὸν ἐν τῷ φιλοσόφῳ λαλοῦντα πονηρὸν δαίμονα ἰσχυρῶς κατεσίγασεν οὐ μόνον ἀλλὰ καὶ ἐξέβαλεν.<br>2.13.7 ἀνὴρ γάρ τις ἐκ τῶν παρόντων τῇ συνόδῳ ἁγίων ὁμολογητῶν ἁπλοῦς τὴν φύσιν εἴπερ τις ἄλλος τῶν ἁγίων καὶ μηδὲν ἕτερον εἰδὼς “**εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον**” σαρκὶ κατὰ τὰς γραφάς, συνὼν τοῖς ἐπισκόποις καὶ ὁρῶν τὸν φιλόσοφον κατεπαιρόμενον τῶν ἡμετέρων ἁγίων ἐπισκόπων καὶ τῇ μοχθηρᾷ αὐτοῦ συζητήσει καταλαζονευόμενον, αἰτεῖ παρὰ τῶν ἐπισκόπων τῶν τοῦ θεοῦ ἱερέων χώραν αὐτῷ συνομιλίας παρ᾽ αὐτῶν πρὸς τὸν φιλόσοφον δοθῆναι.<br>2.13.8 τότε οἱ καθ᾽ ἡμᾶς ἅγιοι ἐπίσκοποι θεωροῦντες τοῦ ἀνδρὸς τὴν ἁπλότητα καὶ τὸ ἄπειρον αὐτὸν εἶναι γραμμάτων ἔπειθον μὴ δοῦναι ἑαυτὸν εἰς τὸ μέσον, μή ποτε παρὰ τοῖς μοχθηροῖς καὶ τῆς ἀληθείας ἐχθροῖς γέλως γένηται. |

| | | | | |
|---|---|---|---|---|
| αἰωνίου κατακρίσεως, διά τε τῆς ἀναστάσεως αὐτοῦ ζωὴν ἡμῖν ἀίδιον περιποιεῖσθαι, ὅν καὶ ἐλπίζομεν αὖθις ἐλθόντα ἓσεσθαι κριτὴν πάντων ὧν διεπραξάμεθα. πιστεύεις τούτοις, ὦ πιλόσοφε;"<br>Ὁ δὲ ὡς ἂν τις μηδεπώποτε λόγων πεῖραν ἒχων εἰς ἀντίθεσιν ἀπηνεώθη καὶ ὡς κωφὸς ἢ ἂλαλος ἀπεσιώπησε, τοῦτο μόνον πρὸς αὐτον εἰπών ὅτι, "κἀμοὶ ταῦτα οὕτως ἒχειν δοκεῖ, μυδὲν δὲ ἕτερον εἶναι ἢ πάντα καθὼς προείρηκας." ὁ δὲ γέρων πρὸς αὐτὸν ἒφη. "εἰ ταῦτα οὕτως ἒχειν πιστεύεις, ὦ φιλόσοφε, ἀναστὰς ἀκολούθει μοι καὶ ἐπὶ τὴν ἐκκλησῖαν σπουδάσωμεν, ἐν ᾗ λήψῃ τὸ σημεῖον ταύτης τῆς πίστεως."<br>Ὁ δὲ φιλόσοφος μεταβαλὼν πρὸς εὐσέβειαν, ἐπιστραφεὶς λέγει τοῖς μαθηταῖς αὐτοῦ καὶ πᾶσι τοῖς συνελθοῦσιν εἰς τὴν ἀκρόασιν, "ἀκούσατε," φησίν, "ὦ ἄνδρες. ἕως ὅτε λόγων ἐποιούμεν σπουδήν, λόγους λόγοις ἀντετίθουν καὶ τὰ προσφερόμενα τέχνῃ τοῦ λέγειν ἀνέτρεπον· ὅτε δὲ ἀντὶ λόγων δύναμίς τις προελήλυθεν ἐκ τοῦ στόματος τοῦ συζητοῦντος, οὐκ ἲσχυσαν οἱ λόγοι τῇ δυνάμει ἀντιτάξασθαι· οὒτε γὰρ ἂνθρωπος Θεῷ οἷός τέ ἐστιν ἀντιστῆναι. Διά τοι τοῦτο εἲτις ὑμῶν δύναται συνιέναι, ὡς καὶ ἐγὼ νενόηκα, πιστεύσει εἰς Χριστὸν καὶ φιλόσοφος γενόμενος Χριστιανὸς ἓχαιρεν ἡττηθεὶς ὑπὸ τοῦ γέροντος. | ac sapientia, quem nos filium dicimus, humanos miseratus errores ex virgine nascitur et per passionem mortis a perpetua nos morte liberavit ac resurrectione sua aeternam nobis contulit vitam. quem et expectamus iudicem omnium, quae gerimus, esse venturum. credis haec ita esse, philosophe?"<br>at ille, velut si numquam ullum sermonem contra dicendi didicesset, ita obstupefactus virtute dictorum, mutus ad omnia hoc solum potuit respondere ita sibi videri nec aliud verum esse quam dixerat. tum senior: "si haec," inquit, "ita esse credidisti, surge et sequere me ad dominicum et huius fidei signaculum suscipe." et filosofus conversus ad discipulos suos vel ad eos, qui audiendi gratia convenerant: "audite," inquit, "o eruditi viri: donec verbis mecum gesta res est, verba verbis opposui et quae dicebantur, dicendi arte subverti. ubi vero pro verbis virtus processit ex ore dicentis, non potuerunt resistere verba virtuti nec homo adversari potuit deo. et ideo si qui vestrum potuit in his quae dicta sunt, sentire quae sensi, credat Christo et sequatur hunc senem, in quo locutus est deus."<br>Ita philosofus Christianus effectus tandem se gratulatus est victum. | | ἀοράτων δημιουργός, ὁ πάντα ταῦτα τῇ δυνάμει τοῦ λόγου αὐτοῦ ποιήσας καὶ τῇ ἁγιωσύνῃ τοῦ πνεύματος αὐτοῦ στηρίξας. οὗτος οὖν ὁ λόγος," φησίν, "ὃν ἡμεῖς υἱὸν θεοῦ προσαγορεύομεν, ἐλεήσας τοὺς ἀνθρώπους τῆς πλάνης καὶ τῆς θηριώδους πολιτείας εἵλετο ἐκ γυναικὸς τεχθῆναι καὶ τοῖς ἀνθρώποις συνομιλῆσαι καὶ ἀποθανεῖν ὑπὲρ αὐτῶν· ἥξει δὲ πάλιν κριτὴς τῶν ἑκάστῳ βεβιωμένων. ταῦτα οὕτως ἔχειν ἀπεριέργως πιστεύομεν. μὴ τοίνυν μάτην πόνει τῶν πίστει κατορθουμένων ἐλέγχους ἐπιζητῶν καὶ τρόπον, ᾧ γενέσθαι ταῦτα ἢ μὴ γενέσθαι ἐνεδέχετο. ἀλλ' εἰ πιστεύεις, ἐρομένῳ μοι ἀποκρίνου."<br>1.18.4 πρὸς ταῦτα καταπλαγεὶς ὁ φιλόσοφος "πιστεύω," φησί. καὶ τῆς ἥττης χάριν ὁμολογήσας τὰ αὐτὰ τῷ πρεσβύτῃ ἐδόξαζε καὶ τοῖς πρότερον ὁμοίως διακειμένοις ὁμοφρονεῖν συνεβούλευεν, οὐκ ἀθεεὶ μετατεθεῖσθαι ἐπομνύμενος, ἀλλ' ἀφράστῳ τινὶ δυνάμει χριστιανίσαι προτραπείς. | 2.13.9 ὁ δὲ μὴ ἀνασχόμενος πρόσεισι τῷ φιλοσόφῳ καί φησι πρὸς αὐτόν· "ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ἀεὶ σὺν τῷ πατρὶ ὄντος θεοῦ λόγου ἄκουσον τὰ τῆς ἀληθείας δόγματα, ὦ φιλόσοφε." ὁ δὲ πρὸς αὐτόν· "ἐὰν εἴποις."<br>καὶ ὁ ἅγιος πρὸς αὐτόν· "εἷς ἐστιν ὁ θεός, φησίν, ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτοῖς πάντα δημιουργήσας, ὃς καὶ τὸν ἄνθρωπον ἐκ γῆς διαπλάσας ὑπεστήσατο τὰ πάντα τῷ λόγῳ αὐτοῦ καὶ τῷ ἁγίῳ πνεύματι.<br>2.13.10 τοῦτον τὸν λόγον, ὦ φιλόσοφε, θεοῦ υἱὸν ἡμεῖς εἰδότες προσκυνοῦμεν, πιστεύοντες διὰ τὴν<br>ἡμετέραν ἀπολύτρωσιν ἐκ παρθένου αὐτὸν σεσαρκῶσθαι καὶ τετέχθαι καὶ ἐνηνθρωπηκέναι καὶ διὰ τοῦ τῆς σαρκὸς αὐτοῦ πάθους τοῦ ἐν τῷ σταυρῷ καὶ τοῦ θανάτου ἐλευθερωκέναι αὐτὸν ἡμᾶς ἐκ τῆς αἰωνίου κατακρίσεως διά τε τῆς ἀναστάσεως αὐτοῦ ζωὴν ἡμῖν αὐτὸν αἰώνιον περιποιεῖσθαι· ὃν καὶ εἰς οὐρανοὺς ἀνελθόντα ἐλπίζομεν πάλιν ἐλεύσεσθαι κριτήν τε ἔσεσθαι περὶ πάντων ὧν διεπραξάμεθα. πιστεύεις τούτοις, ὦ φιλόσοφε;"<br>2.13.11 ὁ δὲ φιλόσοφος ὡς ἂν μηδεπώποτε<br>πεῖραν λόγων εἰς ἀντίθεσιν ἐσχηκὼς ἀπηνεώθη, καὶ ὡς κωφὸς ἢ ἄλαλος οὕτως ἀπεσιώπησε· τοῦτο μόνον οἰκτρᾷ λίαν τῇ φωνῇ πρὸς αὐτὸν εἰρηκὼς ὅτι "κἀμοὶ ταῦτα οὕτως ἔχειν δοκεῖ καὶ μηδὲν ἕτερον εἶναι ἢ πάντα καθὼς προείρηκας."<br>2.13.12 ὁ δὲ γέρων πρὸς αὐτὸν ἔφη· "εἰ ταῦτα οὕτως ἔχειν πιστεύεις, ὦ φιλόσοφε, ἀναστὰς ἀκολούθει μοι καὶ ἐπὶ τὴν ἐκκλησίαν σπουδάσωμεν, ἐν ᾗ λήψῃ τὸ σημεῖον ταύτης τῆς πίστεως."<br>2.13.13 ὁ δὲ φιλόσοφος μεταβαλὼν ὅλον ἑαυτὸν πρὸς τὴν ἀληθῆ εἰς τὸν τῶν ὅλων θεὸν εὐσέβειαν, ἀναστὰς ἠκολούθει τῷ γέροντι καὶ ἐπιστραφεὶς λέγει τοῖς μαθηταῖς αὐτοῦ καὶ πᾶσι τοῖς συνελθοῦσιν εἰς τὴν ἀκρόασιν "ἀκούσατε," φησίν, "ὦ ἄνδρες, ἕως ὅτε λόγων ἐποιούμην σπουδήν, λόγους λόγοις ἀντετίθουν καὶ τὰ προσφερόμενα τέχνῃ τοῦ λέγειν ἀνέτρεπον·<br>2.13.14 ὅτε δὲ ἀντὶ λόγων δύναμίς τις θεία ἐκ τοῦ στόματος τοῦ ζητοῦντος προελήλυθεν, οὐκ ἴσχυσαν οἱ λόγοι λοιπὸν τῇ δυνάμει ἀντιτάξασθαι—οὔτε γὰρ ἄνθρωπος θεῷ οἷός τέ ἐστιν ἀντιστήσεσθαι. διά τοι τοῦτο εἴ τις ὑμῶν δύναται συνιέναι, ὡς ἐγὼ νενόμικα, πιστεύσει εἰς Χριστὸν καὶ ἀκολουθησάτω τούτῳ τῷ γέροντι, ἐν ᾧ ἐλάλησεν ὁ θεός."<br>2.13.15 τοῦτον τὸν τρόπον ἀναλαβὼν ὁ φιλόσοφος φωτισθείς τε καὶ γενόμενος Χριστιανὸς ἔχαιρεν ἡττηθεὶς ὑπὸ τοῦ γέροντος· τούτου δὲ τοῦ φιλοσόφου βαπτισθέντος καὶ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ συναφθέντος καὶ διαναπαυομένου καὶ ἀγαλλιῶντος ἐπὶ τοῖς μεγαλείοις τοῦ θεοῦ, ἡ σύνοδος ἔχαιρεν. |

| | | | | |
|---|---|---|---|---|
| | | | | |

**Sozomen**

1.18.5 Λέγεται δὲ τῷ εἰρημένῳ παραπλήσιον γενέσθαι θαῦμα δι᾽ Ἀλεξάνδρου τοῦ ἐπιτροπεύσαντος τὴν Κωνσταντινουπόλεως ἐκκλησίαν. ἡνίκα γὰρ παρεγένετο Κωνσταντῖνος εἰς τὸ Βυζάντιον, προσελθόντες αὐτῷ φιλόσοφοί τινες ἐμέμφοντο ὡς οὐ δεόντως θρησκεύοι καὶ περὶ τὰ θεῖα νεωτερίζοι καινὸν εἰσάγων σέβας τῇ πολιτείᾳ παρὰ τὰ νενομισμένα τοῖς αὐτοῦ προγόνοις καὶ πᾶσιν, ὅσους Ἑλλήνων τε καὶ Ῥωμαίων ἡγεμόνας ὁ παρελθὼν αἰὼν ἤνεγκε· καὶ ἐζήτουν διαλεχθῆναι Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ περὶ τοῦ δόγματος.
1.18.6  ὁ δὲ καίπερ ὢν τοιαύτης γυμνασίας λόγων ἀτριβής, ἴσως δὲ τῷ βίῳ πεποιθώς (ἐγένετο γὰρ καλὸς καὶ ἀγαθός) ὑπέστη τὸν ἀγῶνα τοῦ βασιλέως προστάξαντος. συνελθόντων δὲ τῶν φιλοσόφων, ἐπειδὴ πάντες διαλέγεσθαι ἠβούλοντο, ἕνα αὐτοὺς αἱρεῖσθαι ὃν θέλουσιν ἠξίου, τοὺς δὲ ἄλλους παρόντας ἡσυχίαν ἄγειν.
1.18.7 ἀναδεξαμένου δὲ ἑνὸς τὸν λόγον "ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ," ἔφη πρὸς αὐτὸν Ἀλέξανδρος, "ἐπιτάττω σοι μὴ λαλεῖν." ἅμα δὲ τῷ λόγῳ καὶ ὁ ἄνθρωπος αὐτίκα τὸ στόμα πεδηθεὶς ἐσιώπα. ἆρ᾽ οὖν δίκαιον ἀναλογίσασθαι, πότερον μεῖζον ἐν παραδόξοις ἄνθρωπον, καὶ ταῦτα φιλόσοφον, οὕτω ῥᾳδίως ἀφελέσθαι τοῦ λόγου ἢ λίθον βίᾳ λόγου τῇ χειρὶ διελεῖν, ὃ πρός τινων ἐπὶ Ἰουλιανῷ τῷ καλουμένῳ Χαλδαίῳ κεκομπολογῆσθαι ἀκήκοα; καὶ τὰ μὲν ὧδε ἐπυθόμην.

## Debate with Arius before the council begins

**Sozomen**

1.17.6 Πρὸ δὲ τῆς προθεσμίας συνιόντες καθ᾽ ἑαυτοὺς οἱ ἐπίσκοποι μετεκαλοῦντο τὸν Ἄρειον· καὶ προτιθεμένων εἰς τὸ κοινὸν ὧν ἐδόξαζον διελέγοντο. οἷα δὲ εἰκὸς εἰς διαφόρους ζητήσεις περιισταμένης τῆς διασκέψεως, οἱ μὲν μηδὲν νεωτερίζειν περὶ τὴν ἀρχῆθεν παραδοθεῖσαν πίστιν συνεβούλευον, καὶ μάλιστα οἷς τὸ τῶν τρόπων ἁπλοῦν ἀπεριέργως εἰσηγεῖτο προσίεσθαι τὴν εἰς τὸ θεῖον πίστιν· οἱ δὲ ἰσχυρίζοντο μὴ χρῆναι ἀβασανίστως ταῖς παλαιοτέραις δόξαις ἕπεσθαι.

1.19.1a Οἱ δὲ ἐπίσκοποι συνεχῶς συνιόντες τὸν Ἄρειον εἰς μέσον παρῆγον καὶ ἀκριβῆ βάσανον ἐποιοῦντο τῶν αὐτοῦ προτάσεων, προπετῶς δὲ ἐπὶ θάτερα τὴν ψῆφον ἄγειν ἐφυλάττοντο.

*Created by AGC, edited by AGC and RR.*